Post occupatam vero a Latinis urbem, Theodorus Lascaris Nicææ annis xix imperavit. Johanoes Ducas, qui & Batatza, generque Theodori Lascaris imperii sedem habuit Magnesiæ ad Sipylum annis xxxiii. Theodorus Lascaris ejus filius annis iv. Johannes Lascaris, qui, priusquam coronam imperatoriam suscepisset, a Michaele Palæologo excæcatur, & anno tertio quam imperare cœperat regno pellitur. Latini quoque urbe excedere coguntur, eamque ingressus est Michael Palæologus, ab orientis partibus, adsumpto imperatorio nomine, profectus. Ad hunc usque Imperatorem Romann imperio subditæ fuerunt, tributumque solverunt hæ provinciæ, Asia minor, Paphlagonia, Mysia, quæ & Bithynia, Phrygia magna, Phrygia * Capatiana, Caria, atque etiam pars Ciliciæ; Turci vero, qui Lycaooiam jam occuparant, provinciis quoque ulterioribus remotioribusq; imperabant; Lycaooiæ scilicet, Cappadociæ, Galatiæ, Pamphyliæ, Armeniæ, Helenoponto, Pisidiæ, Lyciæ, Syriæ cavæ, & aliis. Imperium tenuit Michael annos xxiv. Michaelem secutus est filius ejus Andronicus Palæologus qui regnavit annis xliii. hujus imperii anno ** Asiæ Metropolis Ephesus, & Caria provincia in potestatem Mantachiæ devenerunt. Lydiamque Smyrnam usque subegit Atin. Magnesiam Pergamum usque, & totam Magedorum provinciam suæ ditionis fecit Sarchan. Phrygiam uoiversam occupavit Carmian. Altera Phrygia magna, quæ ab urbe Asso ad Hellespontum extenditur a Carase occupata est. Bithynia tota, & Paphlagoniæ pars Othmano cesserunt, atque hi omnes Turcorum principes, ac duces erant. Post Andronicum Michael filius ejus imperii fasces obtinuit annis, ** Michaelis successit Andronicus * senior dictus, annisque xiii imperio præfuit. Andronicum sequitur filius ejus Johannes Palæologus, qui cum juvenis esset sub tutela Domini Johannis Cantacuzeni regebatur. Anno imperii hujus * Turci Hellespontum primo transfretarunt. Ex Asia quidem Homur filius Atinis Turcorum dux movit, qai Smyrnam, Ephesum, & loca vicina tenebat. Orchanes vero filius memorati Othmani Prusa profectus est. Superato itaque freto, prædonum more totam Chersonesum populati sunt. Thraciæque loca maritima secure, nulloque, qui incurrentes reprimeret, obvio facto usque Didymotecum, etiamque versus imperii sedem Constantinopolim Selymbriam usque incursionibus infestarunt, tamquam Thraciam universam subacturi. Imperante quoque Johanne prædicto eoque adhuc juvene, Chium insulam Genuenses occuparunt, ceterasque cycladas insulas Franci ex Navarra profecti. Universa insuper Peloponesus, preter Lacedemonem & Monembasiam, & quę in Jonia sitę sunt Phocęę ab iisdem Gennensibus suę ditioni adjectę sunt.

Theodorus 1204. Ducas 1222. Theodorus 1255. Johan. Muscal. 1258. ἐν ἔτει ςψξή Ιουλίου κε. Anno a creatione mundi 6768. Julii die 25. Christi 1260 cœpit Mich. * alii Pacatiana. Edit. Paris. pag. 4. Andronicus 1283. Duces Turcorum. Mantachia. Atin. Sarchan. Carmian. Carases. Othman. Pater, & filius simul annis 50. prædictis 43. Vide Notas. Andronicus 1329. * Junior ὁ νέος. Hic Johannes coronatus est Novemb. xix. an. 6850. 1341. Transitus Turcorum Othmanorum in Europam anno Hegiræ 718. Christi annis 1356. & 1357. cœpit annus Hegiræ 758. anno 1356. Decemb. die xxv. Dominica Cyclo Solis xxi. littera C. B. Johannis Palæolog. anno xvi. Christ. 1356.

Duca Hist. Byz.

CAPUT III.

Edit. Paris. pag. 5.

Orchanis Osmanidæ mors; Morates ejus F. imperium adeptus Lazaro Despotæ Serviæ bellum infert, a juvene Servio occiditur, post cujus cædem prælium Turci ineunt, Servios cædunt, & magna clade afficiunt. Lazarus vivus & multi Serviorum proceres capiuntur & in Moratis tentoriis interficiuntur. A Veziris Ildrim Bajaziti Imperium defertur natu minori filiorum Moratis. Fratrem natu majorem fraude oppressum excæcat Bajazites.

Mors Orchanis. Morates Turcorum princeps. Orchanes obiit anno Hegiræ 760. id est, anno Christi 1359. Adrianopolis occupata anno Hegiræ 765. Christi 1362. at Annal. Turc. referunt ad ann. 761. Christi 1360.

A EOdem anno labente nobis supra memoratus Orchanes Turcorum princeps obiit, relicto filio Morate ditionum atque principatus hærede, qui Thraciam urbibus potitus imperii limites producit, obsessamque Adrianopolim occupat, atque universam, excepta Thessalonica, Thessaliam; velut ergo Romanorum provinciis omnibus perdomitis, & subactis, in Triballos movit, & quamplurima ipsorum oppida, pagosque funditus delevit, incolasque captivos in objectam Europæ Asiam per fretum Chersonesi abductos trajecit. Quibus cum attendisset Serviæ Crales (id est Rex) Lazarus Stephani Cralæ F. conscripto ex omnibus ditionibus suis exercitu, cum tyranno acie decertat, eoque prælio utriusque exercitus plurimi ceciderunt. B Admissum deinde novum quoddam, præterque id quod dici aut cogitari potest callide susceptum facinus.

Fortis viri audax facinus, Milos Cobilitzius ei nomen fuit.

Vir quidam Servius e primaria nobilitate, juvenis fortis, & audax, si quis alius coætaneorum tunc fuit, talisque exitu approbatus, a Christianorum acie in medios Turcorum ordines velut transfuga procurrit, statimque a Turcis comprehenditur. Ipse vero Turcorum Principem nomine compellans dicebat cupere se eum videre, & verba quædam in aurem ipsi facere, ut hoc bello superior evaderet: *hujus enim causa*, inquit, *transfuga huc transivi*: Ducem itaque suum illi ostendunt. Moratesque manu significat, ut ad se accederet: cum ergo prope accessisset juvenis, sica lethale vulnus præcordiis Tyranni infligit, ipseque ab hastatis Moratis satellitibus, custodibusque membratim concisus C est. Tunc Turci novum casum præter spem contuiti, tamque acerbæ cladis, cujus ipsi spectatores fuerant, impatientes, consilium prudens atque callidum ineunt:

Pugna valida Serviorum cum Turcis.

in media acie tentorio erecto intus semimortuum Moratem deponunt, ac veluti nullum subiissent periculum, multis interim devitatis, intra ordines ut canes rabidi se receperunt. Servii vero, quæ a forti ac generoso juvene illo tam solerter & feliciter, proque salute sua gesta erant, non solum

pag. 6.

non cognoverunt, quamque Turci cladem amisso duce acceperant; sed animo insuper fracti ac despondentes & eximius ille belli dux sperato fructu delusus periit: ut & D ipsi ignave ac timide Turcis restiterunt, tantisper dum talem exitum prælium haberet. comprehenditur Lazarus, & cum eo procerum atque belli ducum quamplurimi,

Mors Lazari, & Moratis Turcorum Principis. Hegiræ 791. Christi 1389.

qui in tentorium, in quo Morates jacebat animam jam agens, adducti trucidantur, idem mortis genus ac Morates experti. Horum vero quæ gerebantur nondum quicquam senserant, qui in lævo, dextroque aciei cornu stabant. in postrema quippe acie pugnatum erat. dextrum ducebat cornu Sabucius major natu filiorum Moratis:

A ΕΝ δὲ τῷ αὐτῷ ἔτει ἐπεθνήσκει καὶ ὁ προῤῥηθεὶς Ὀρχὰν ὁ ἀρχηγὸς τῶν Τούρκων, καταλιπὼν τὴν ἡγεμονίαν αὐτοῦ τῷ υἱῷ αὐτοῦ Μουράτ, ὃς ἐγκρατέστερος τῶν Θρᾳκικῶν πόλεων γενόμενος, πολιορκήσας τὴν Ἀδριανούπολιν εἷλε, καὶ Θετταλίαν πᾶσαν πλὴν Θεσσαλονίκης. Ὡς δὲ οὖν σχεδὸν πάσας τῶν Ῥωμαίων χώρας ὑπὸ χεῖρα κατέσχεν, καὶ εἰς Τριβαλοὺς ἀφίκετο, καὶ πολλὰ τῶν αὐτῶν πολίχνια, καὶ κώμας ἀφανίσας, καὶ τοὺς οἰκήτορας αἰχμαλώτους ποιῶν, εἰς τὴν περαίαν διὰ τοῦ ἐν Χεῤῥονήσῳ πορθμοῦ ἀπέπεμπεν· ὁρῶν οὖν ταῦτα ὁ τότε τὴν Σερβίαν κραλεύων Λάζαρος, υἱὸς Στεφάνου τοῦ Κράλη Σερβίας, συναγαγὼν πᾶσαν τὴν ὑπ' αὐτοῦ δύναμιν συμπλέκεται τῷ τυράννῳ, καὶ ἐξ ἀμφοῖν τῶν δυνάμεων πίπτου- B σι πλεῖστοι· εἶτα γίνεταί τι καινὸν καὶ ὑπὲρ λόγον τεχνούργημα. Ἀνήρ τις τῶν ἐνδόξων Σέρβος νέος, ἀνδρεῖος, καὶ τολμηρὸς ὡς οὐδεὶς ἄλλος τῶν τότε, καθὼς ἀπεδείχθη, ἀποσπασθεὶς ἐκ τῆς φάλαγγος τῶν Χριστιανῶν, εἰς μέσον τῆς παρατάξεως τῶν Τούρκων ὡς αὐτόμολος πίπτει. καὶ δὴ ἁρπάσαντες οἱ Τοῦρκοι τοῦτον, αὐτὸς δὲ τὸν ἡγεμόνα ὀνομαστὶ καλῶν, καὶ βούλομαι τοῦτον ἰδεῖν, καὶ λόγους τινὰς ὑποψιθυρίσαι ὡς ἐγκρατὴς γενέσθαι τούτου τοῦ πολέμου, ἕνεκα γὰρ τούτου αὐτόμολος ἐλήλυθα, εἰπών, τὸν ἡγεμόνα δεικνύουσι. ὁ Μουρὰτ δὲ διὰ τῆς χειρὸς δειγματίσας τοῦτον ὡς πρὸς αὐτὸν ἐλθεῖν, ὁ νέος ὁρμήσας καὶ πλησίον ἐλθών, ξιφιδίῳ κατὰ καρδίας καιρίαν δίδωσι τὴν πληγήν, καὶ αὐτὸς παρὰ C τῶν πελεκυφόρων καὶ ὑπασπιστῶν τοῦ Μουρὰτ μεληδὸν κατατέμνεται· Τότε οἱ Τοῦρκοι τὸ παρ' ἐλπίδα καινὸν θεασάμενοι, καὶ οἷον κακὸν αὐθωρὸν ἐπ' ὄψιν ἐπισυνέβη μὴ ἐνεγκάμενοι, βουλὴν ἀσυμβούλευτον βουλεύονται, μάλα καὶ σοφιστικήν· ἐν μέσῳ τῆς παρατάξεως σκηνὴν πεπηγότες, εἴσω τὸν ἡμιθανῆ Μουρὰτ τεθείκασι· αὐτοὶ δὲ ὡς οὐδένα τοὺς πολλοὺς κινδύνους ἀπωσάμενοι, εἴσω τῆς παρατάξεως ὡς κύνες λυττῶντες ἐχώρησαν. οἱ δὲ Σέρβοι ἀγνοοῦντες τὴν εἰς αὐτοὺς γενηθεῖσαν παρὰ τοῦ καλοῦ ἐκείνου εὐστοχίαν, καὶ τὴν εἰς τοὺς Τούρκους τοῦ ἡγεμόνος ζημίαν, ἀλλὰ μᾶλλον ἀπεγνωκότες, ὡς ὁ καλὸς ἐκεῖνος στρατηγὸς ἄτερ κέρδους τοῦ προσδοκωμένου ἀπώλετο, δειλοκάρδιοι καὶ χαῦνοι πρὸς τοὺς Τούρκους ἀντεῖχον, ἕως οὗ τέλος ὁ πό- D λεμος εἴληφε. Συλλαμβάνεται οὖν ὁ Λάζαρος, καὶ σὺν αὐτῷ τῶν μεγιστάνων οἱ πλεῖστοι, οὓς ἀπαγαγόντες ἐν τῇ σκηνῇ ἔκειτο ὁ Μουρὰτ ἤδη τὰ λοίσθια πνέων, σὺν τῷ Λαζάρῳ πάντας τοὺς ὑπ' αὐτὸν ἄρδην κατέσφαξαν, καὶ σὺν αὐτοῖς καὶ Μουρὰτ ἅμα τέλος ἐδέξατο. τὸ δεξιὸν κέρας μήπω τῶν πραττομένων αἰσθόμενόν τι, ἀλλ' οὐδὲ τὸ ἀριστερόν, ἐν δὲ τῇ οὐραγίᾳ ταῦτα ἐπράχθησαν. ἦν δὲ ὁ ἔξαρχος τοῦ δεξιοῦ κέρατος Σαβούτζιος ὁ πρῶτος τῶν υἱῶν Μουράτ, τοῦ δὲ ἀριστεροῦ ὁ δεύτερος ὁ καὶ Παγια-

ζὴτ, δεινὸς, καὶ δραστήριος ὡς οὐδεὶς τῶν ἄλλων, ὃν καὶ μετακαλέσαντες οἱ τῆς βουλῆς ἐξοχώτατοι τοῦ Μουράτ, οὓς καὶ Βεζιρίδας κατὰ τὴν αὐτῶν γλῶτταν καλοῦσιν, ἀνακαλύπτουσι τὰ γενόμενα, καὶ τὸ πτῶμα τὸ πατρικὸν ἐμφανίζουσιν. Ὁ δὲ, οὐδὲ σχῆμα οἰμωγῆς ἢ κλαυθμοῦ ἐν ταῖς παρειαῖς ἀναφανεὶν, μετακαλεῖται Σαβούτζιον τὸν ἀδελφὸν, ὡς δῆθεν ἐκ τοῦ πατρὸς ἵνα σκέψωνταί τι βαθύτερον· ἀγνοοῦντος δὲ Σαβουτζίου τὸ δρᾶμα ἑκὼν ἔρχεται ὡς πρὸς τὸν πατέρα, καὶ ἄφνω συλλαμβάνεται παρὰ τοῦ ἀδελφοῦ, καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεται, καὶ ἀρχηγὸς τῶν Τούρκων ὁ Παγιαζὴτ ἀναδείκνυται· ἀνὴρ δεινὸς καὶ περὶ τὰ πολεμικὰ ἔργα γρήγορος, χριστιανομάχος ὡς οὐδεὶς τῶν κατ᾽ αὐτὸν, ἐν τῇ τῶν Ἀράβων θρησκείᾳ μαθητὴς τοῦ Μωάμεδ θερμότατος, φυλάττων τὰς ἀθέσμους αὐτοῦ ἐντολὰς ἄχρι καὶ τῆς ὑστάτης στιγμῆς· ἄγρυπνος καὶ διανυκτερεύων ἐν ταῖς βουλαῖς, καὶ μηχανουργίαις κατὰ τῶν Χριστοῦ λογικῶν προβάτων.

A

lævæ præerat alter eorum Bajazites vir acer, & præ cæteris promptus, quem accersiverunt, qui Vezirides eorum lingua vocantur, præcipui Moratis consiliarii, eique exponunt quæ acciderant, casumque patris. Lachrymis itaque compressis omnique luctus specie, Sabucium fratrem tamquam jussu patris cum eo de rebus gravioribus acturus ad se vocat. Sabucius itaque veluti patri obtemperans sponte accedit fraudis ac doli ignarus, invitusque a fratre comprehenditur & excæcatur. Turcorum deinde Princeps renunciatur Bajazites, vir acris ingenii, inque rebus bellicis sedulus atque impiger, præ cæteris sui ævi hominibus Christianorum hostis, superstitionis Arabum observator studiosissimus: & Mohamedis impiis præceptis adhærens ea accuratissime observabat. Noctes insomnes ducebat consilia struens, dolosque nectens adversus Christi rationabiles oves.

Sabucius excæcatus a fratre Bajazite.

Princeps Turcorum fit Bajazites.

CAPUT IV.

Bajazites Serviis tributa imperat, Stephanum Lazari F. sibi militare jubet, ejusque sororem Mariam uxorem ducit. Carmianum Phrygiæ Regulum spoliat. Joniam invadit. Sarchanem deditione accipit, & Asiæ Regulos in ordinem cogit. Philadelphiam occupat & Callipoleos arcem instaurat.

ΟΥΤΟΣ τὴν ἡγεμονίαν ἀναδυσάμενος πρῶτον μὲν Σέρβους μετὰ τὴν πτῶσιν Λαζάρου καὶ τοῦ Μουράτ, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, ὑποτελεῖς καὶ ὑποφόρους πεποίηκεν. ὁμήρους τε καὶ συνθήκας λαβὼν, ὡς ὁ τοῦ Λαζάρου ἐκείνου υἱὸς Στέφανος, ὃν καὶ Κράλην ἡ Σερβία μετὰ τὴν συμφορὰν ἐκείνην κεχειροτόνηκεν, ἵνα σὺν τῇ στρατείᾳ αὐτοῦ ὅποι διάγει ὁ Παγιαζὴτ, κἀκεῖνος συνεκστρατεύηται· καὶ τὴν ἀδελφὴν αὐτοῦ Μαρίαν τὴν τοῦ Λαζάρου θυγατέρα εἰς γάμον ἐκδώσειν αὐτῷ παρθένον οὖσαν καὶ τρυφεράν, καὶ ἀργυρίου τάλαντα ἱκανὰ ἐκ τῶν μετάλλων Σερβίας. Καὶ οὕτω μὲν Σέρβοι τοῖς Τούρκοις ὑπόσπονδοι γεγονότες ὁ Παγιαζὴτ πᾶσαν τὴν ἱππικὴν τῶν Θρᾳκικῶν, καὶ Θετταλικῶν δυνάμεων συναγηοχὼς, ἐπὶ τὴν περαίαν τὴν πρὸς ἕω τὴν πορείαν ποιεῖ, καὶ διαβὰς τὸν πορθμὸν τὸν ἐν μέσῳ Καλλιουπόλεως, καὶ Λαμψάκου, μετὰ πολλῆς συμμαχίας Τούρκων τε, καὶ Ῥωμαίων τῶν ὑπὸ χεῖρα, ἐπὶ τὸ Κοτυάειον ἀνατρέχει, μητρόπολιν τῆς Φρυγίας, καὶ ταύτην τε πόλιν εἷλε, καὶ τὸν Καρμιανὸν τὸν ἀρχηγὸν τῆς Φρυγίας γενόμενος δὲ ἐν τοῖς πράγμασι τῆς Φρυγίας ὁ Παγιαζὴτ Καρμιάνον ἐν τῇ Προύσῃ ἐξέπεμψεν, ὁ δὲ ἀποδράσας εἰς Πέρσας ἐξέφυγεν· ὁ δὲ Παγιαζὴτ τὴν Φρυγίαν διαβὰς, καὶ ἀπὸ Λαοδικείας εἰς Ἔφεσον κατελθὼν, ἐγκρατὴς τῆς Ἰωνίας ἐγένετο. καὶ τὸν Ἰσσαῖ ἔκγονον τοῦ Αϊτίνη ἀρχηγὸν ὄντα τῆς Ἰωνίας κατέχων, ἐν τῇ κατὰ Βιθυνίαν Νικαίᾳ ἐξώρισε, κἀκεῖ τὸ λοιπὸν τῆς ζωῆς αὐτοῦ διεβίβασε. τὰς δὲ δυνάμεις πάσας διαβιβάσας τὸν Μαίανδρον, καὶ Καρίαν πᾶσαν καὶ Λυκίαν ἀψοφητὶ λαβὼν, * ὁ τούτων ἀρχηγὸς Ἐλιὲζ πρὸς Πέρσας φυγὰς ᾤχετο. λαβὼν δὲ τὰς δυνάμεις πάσας ἐπισθορμῶν ἐν τῇ Λυδίᾳ παραγίνεται, τὴν πορείαν ἀπὸ τοῦ Τμώλου τοῦ μεγίστου ὄρους τῆς Λυδίας εἰς Σάρδεις μητρόπολιν τῆς Λυδίας κατελθών. καὶ πρὸς Μαγνησίαν τὴν ἐν Σιπύλῳ τὴν πορείαν ποιούμενος, ἐξῆλθεν εἰς συνάντησιν αὐτοῦ Χοδὴρ ὁ ἀρχηγὸς Λυδίας, καὶ τῶν Αἰολίδων πόλεων, ὁ ἔκγονος τοῦ Σαρχάν, καὶ παρέδωκεν ἑαυτόν· αὐτὸς δὲ μεταδοὺς μεγάλης τιμῆς, ἐπεὶ γαμβρὸς ἦν ἀ-

B

HIc adepto Principatu, post Moratis & Lazari cædem a nobis expositam Servios primum tributa pendere coegit, obsidibusque acceptis has conditiones tulit: Lazari illius filius Stephanus post cladem Serviis illatam Crales ab eis constitutus, quocumque cum exercitu moveret Bajazetes, sub ejus signis militaret; Maria Lazari filia virgo tenera adhuc & florens Stephani soror Bajaziti nuberet; plurimaque argenti talenta ex Serviæ fodinis metallicis ei solverentur. His legibus data atque obstricta Turcis Serviorum fide, collecto universo Thracico atque Thessalico equitatu proficiscitur Bajazites versus orientem in provincias ultra mare sitas, trajectoque freto, quod Callipolim & Lampsacum interjacet, cum ingentibus Turcorum

Bajazites uxorem ducit Mariam Lazari filiam.

Edit. Paris. pag. 7.

C

atque Romæorum, quos devicerat, copiis Cotyæum Phrygiæ Metropolim tendit, urbeque & Carmiano Phrygiæ Principe potitur. Rebus deinde illic constitutis Carmianus a Bajazite Prusam dimittitur, nec multo post ad Persas confugit. Totam postea Phrygiam itineribus emensus Bajazites, a Laodicæa Ephesum delatus tota Jonia potitur, & Jesæum filium Atenis Joniæ principem, atque tunc imperantem Nicæam Bithyniæ ablegatum ibi subsistere jussit: & reliquum deinceps vitæ tempus Jesæus illic transegit. Hinc superato Mæandro flumine, trajectisque universis copiis, Cariam totam & Lyciam sine aliquo tumultu bellico occupat, istarum provinciarum principe Eliez ad Persas aufugiente.

Anno Hegiræ 792. Christi 1390. Illi regulis spoliati & Philadelphia capta. Fugit Carmianus, illiusque ditionem occupat Bajazites.

Atenis filius Jesæus dedit se Bajaziti, a quo spoliatur. Mantachias fugit, & Ceteres provincias illius in potestatem suam redigit.

D

exercitum in Lydiam inde reducit, perque Tmolum altissimum montem Sardeis Lydiæ metropolim venit. Magnesiam deinde ad Sypilum sitam tendenti occurrit Cheder filius Sarchanis Lydię Æolidumque civitatum princeps, eique se dedidit. Hunc Chederem Bajazites, quem Impertito honore cohonestaverat collocata ei in matrimonium sorore sua, Prusam mittit, moxque veneno sustulit. Movit inde Bajazites, & Philadelphiam proficiscitur, (cum enim

Cheder Solchan se suaque Bajaziti dedit.

totus Oriens ab annis fere centum Turcorum imperio premeretur, hæc urbs amplissima, hominumque frequentia celeberrima interim hactenus steterat, neque dum istorum tyrannidi cervicem submiserat, ipsaque, instar stellæ inter nubes in cæli vertice micantis, splendebat) & obsessam urbem ad deditionem compellit deficiente cives commeatu. Constitutis deinde pro libitu provinciarum rectoribus & præfectis, ad occidentales regiones cum omnibus copiis tendit. jamque fretum transvectus arcem ad fauces Callipoleos, a Catelanis ipsisque Turcis jam diu dirutam penitusque excissam, a fundamentis novam excitavit, portumque seu stationem unde triremes excurrere, in quem deinde tuto se recipere possent, construxit, eique turrem amplissimam imminentem ad arcendos hostiles incursus imposuit.

Philadelphia a Bajazete occupata Christ. 1390. Hegira 792.

Callipolis iterum ædificata anno Christi 1391. Hegiræ 793.

A ἀδελφῷ ἦν ὁ Χιδὺρ, πέμπει τοῦτον πρὸς Προῦσαν. ὡς ἐν ὀλίγῳ δὲ καὶ φαρμάκῳ τοῦτον ἀνῄρησεν· ὁ δὲ Παγιαζὴτ τὴν πρὸς Φιλαδέλφειαν ἀπάγουσαν εἶχεν ὁδόν, καὶ γὰρ αὕτη ὡς ὑπερέχουσα τῷ μεγέθει, καὶ πολύανδρος οὖσα ὑπεστράτει ἔγγιστά που τοῖς ρ΄. ἔτεσι, καὶ ἡ ὑψηλὸς πᾶσα ἦν ὑποχείριος παρὰ τῶν Τούρκων· ἡ δὲ πόλις αὕτη δίκην ἀστέρος ἐν συννεφώδει μεσουρανήματι φαίνουσα ἦν. πολιορκήσας δὲ ταύτην * * * * * * * * * * * * * * καὶ μὴ δυνάμενοι διὰ τὴν ἔνδειαν τῶν τροφῶν παρεδόθησαν. λαβὼν δὲ τὰς δυνάμεις πάσας τὰς ἔσω προκαταστήσας ἐν ταῖς ἐπαρχίαις ἀρχηγοὺς καὶ ἡγεμόνας, ὡς αὐτὸς ἐβούλετο, πρὸς τὰ ἑσπέρια χωρεῖ. καὶ δὴ τὸν πορθμὸν διαβάς, ἐπεὶ τὸ τῆς Καλλιουπόλεως φρούριον πρὸ πολλοῦ καιροῦ παρά τε τῶν Κατελάνων, καὶ παρ' αὐτῶν Τούρκων διεφθαρμένον εἰς παντελῆ ἀφανισμὸν ἦν, αὖθις ἐκ βάθρων ἄλλο καινὸν ᾠκοδόμησε, καὶ ὁρμητήριον ἕνεκα τριήρων φυλακήν, καὶ πύργον ὑπερμεγέθη πρὸς ἀντιπαράταξιν ὑπερκείμενον τοῦ λιμένος ᾠκοδόμησεν.

Edit. Paris. pag. 8.

CAPUT V.

Initia discordiæ inter Joh. Cantacuzenum & Imperatricem Annam ejusque aulæ proceres. Cantacuzenus urbe discessit, dolo eum aggrediuntur adversarii, ab amicis monetur, qui ideo ab Alexio Apocauco in carcerem conjiciuntur, Apocaucum interficiunt, & propter ea omnes fere necantur. Michael Ducas auctoris avus paternus.

Initia discordiæ inter Cantacuzenum & aulicos Constantinopolit. Palatii,

Laudes Cantacuzeni.

DUm hæc geruntur Imperator Johannes exacta juvenili ætate virilique consumpta, socordiæ ac desidiæ totus immersus senescebat. Hunc adhuc juniorem regerat nobis memoratus Dominus Joannes Cantacuzenus, vir prudens reique militaris peritissimus ac strenuus, nobilium, ut ita dicam, flos suavissimi odoris. talem equidem Andronicus Imperator decessor Johannis, in omnibus non aliter quam fratrem habuit, ejusque fidei imperium ac filium moriens commisit. Sed Romæorum improspera & iniqua fortuna odium ei invidiamque conflavit: maxime etenim invidere solent homines illis, quos virtus ad altiora evehit: quapropter cum Joannem Imperatorem adhuc adolescentem generum sibi habere Cantacuzenus vellet, nuptum data illi Helena filia sua, cæteri Senatorii ordinis viri invidia exagitati matrem Imperatoris adeunt, uxoremque ei ex Germania petendam pro consuetudine jamdiu usurpata dicunt, nullatenus vero ea subditis, ut a Germanis (ajunt) auxilia, & suppetias, si tempus ita exegerit, consequi possimus. His cum annuisset Domina Anna, quæ Germana quoque fuit, & cui admodum cordi erat eodem sanguine Imperatoris ac filii purpuram connubiali fœdere attingere, negligitur respuiturque Cantacuzenus, qui tutelæ ac administrationis onere excusso Constantinopoli egressus in Macedoniam secessit. Hinc opportunam occasionem nacti, qui invidia in illum ardebant, crimen majestatis in illum confingunt, totumque commentum pro re comperta ad Imperatricem Imperatorisque matrem referunt, dantque consilium ut res accurate exploretur. Jubeat, inquiunt, Majestas tua Domesticum omnes turmas Macedonicas confestim cogere, Byzantiumque deducere. horum etenim alterutrum animo versabant, aut ad jussa Imperatoris præsto futurum, captivum

Helena Cantacuzeni filia.

Anna mater Johannis Imp.

Cantacuzenus Constantinopoli discedit.

In Cantacuzenum aulici Imperatricem excitant.

B Ὁ δὲ Βασιλεὺς Ἰωάννης ὑπερβὰς τὴν μειρακιώδη, καὶ νεανικήν, μεθ' ἡλικίωσιν καὶ τὴν ἀνδρώαν μεθ' ὅσης ναρκότητος πρὸς τὴν πρεσβυτικὴν ἑτοιμάζετο τῷ τότε καιρῷ. καὶ γὰρ νέος ὤν, καὶ παιδαγωγῷ χρώμενος οἰκείῳ, ὡς ἄντικρυ τῷ προρρηθέντι Καντακουζηνῷ ἀνδρὶ συνετῷ καὶ περὶ τὰ πολεμικὰ μαχιμωτάτῳ, καὶ τῶν εὐγενῶν, ὡς εἴποι τις, ἄνθος εὔοσμον. τοιοῦτον γὰρ ὄντα, καὶ ὁ προβεβασιλευκὼς Ἀνδρόνικος κατὰ πάντα ὡς ἀδελφὸν ἡγεῖτο, καὶ τὴν βασιλείαν σὺν τῷ παιδὶ * πλευτῶντος ἀνέθετο. ἀλλ' ἡ τῶν Ῥωμαίων οὐκ ἀγαθὴ τύχη μῖσος ἐνέσπειρε, καὶ φθόνον ἀνέτεινε. Καὶ γὰρ φθονοῦσι μᾶλλον τοῖς μᾶλλον ἐπ' ἀρετῇ προϊοῦσιν, ὅθεν καὶ κατὰ τὸν τότε καιρὸν νέος ὢν ἔτι ὁ Βασιλεὺς Ἰωάννης, ἠβούλετο ὁ Καντακουζηνὸς κηδεστὴς αὐτοῦ γενέσθαι ἐπὶ θυγατρὶ Ἑλένῃ. οἱ δὲ C λοιποὶ τῆς συγκλήτου φθονοῦντες πρὸς τὴν μητέρα τῆς Βασιλείας ἐξ Ἀλαμανῶν καὶ Γερμανῶν, ὡς ἐκ συνηθείας μακρᾶς, τῷ Βασιλεῖ τῶν Ῥωμαίων ἀγαγέσθαι νύμφην ἔφασκον, οὐχὶ δὲ ἐκ τοῦ ὑπηκόου, ὅπως ἀρωγὴν καὶ βοήθειαν ἐν καιρῷ δεομένῳ παρὰ τοῦ γένους ἐκείνου σχοίημεν· συγκατανευσάσης οὖν εἰς τοῦτο καὶ τῆς δεσποίνης Ἄννης, ὡς ὅτι καὶ ἐξ Ἀλαμανῶν ἦν καὶ προθυμίας εἶχε πάλιν ἐκ τῶν αὐτῶν αἱμάτων πορφύραν βάψαι τῷ Βασιλεῖ καὶ παιδί, παροράται Καντακουζηνός, καὶ αὐτὸς τῆς ἐπιτροπῆς τὸν φόρτον ἀποφορτίζεται, ἔξεισι τῆς Κωνσταντίνου, καὶ πρὸς Μακεδονίαν μεθίσταται. καὶ οἱ τὸν φθόνον τρέφοντες ἀφορμὴν εὐρυχωρείαν, καὶ καθοσίωσιν κατ' αὐτοῦ πλάττουσι, καὶ D τῇ βασιλίσσῃ καὶ μητρὶ τοῦ Βασιλέως τὸ πλάσμα ὡς πρᾶγμα βέβαιον ἀπαγγέλλουσι, καὶ δοκίμιον τοῦ πράγματος τῇ δεσποίνῃ συμβουλεύονται. Γενηθήτω λέγοντες πρόσταγμα παρὰ τῆς σῆς βασιλείας πρὸς τὸν Δομέστικον ὥστε λαβεῖν τὰς τῶν Μακεδόνων ἴλας καὶ ἐλθεῖν ταχὺ πρὸς τὸ Βυζάντιον. Ἐκεῖνοι μὲν γὰρ ἐνενόουν, εἰ μὲν ἀπαντήσει πρὸς τὸ θέσπισμα, τὸν θηρώμενον ἕξουσιν ὡς ἀνδράποδον, εἰ δ' ἀποκρούσει τὸ προσταχθέν, ἄδη-

* leg. τῷδε.

λον τὴν κατηγορίαν καταγγέλλουσι. καὶ ἄλλον ἐν τοῖς πράγμασι χειροτονήσουσιν ἔφεδρον. Οἱ δὲ τοῦ Καντακουζηνοῦ προσγενεῖς τε καὶ φίλοι τὸ δρᾶμα λαθραίως διὰ γραφῆς δηλοῦσι, καὶ εἰ μὲν βούλει τὸν ἥλιον ὁρᾷν, καὶ σκότος ἀπέχεσθαι τὰ πρωτεῖα τῇ παρακοῇ νέμε, γεγράφασιν. εἰ δ' ὑπήκοος γένῃ, ἕξεις πρὸ θανάτου τὴν σκότωσιν. Καὶ ταῦτα μαθὼν ὁ Καντακουζηνὸς, καὶ τοῦ θεσπίσματος καταφρονήσας προφανῶς ἀντέστη· οἱ δὲ τῆς πόλεως ἄλλον ἀντ' αὐτοῦ ψηφίζουσιν ἔπαρχον, Ἀλέξιον τὸν Ἀπόκαυκον ἄνδρα ἀγεννῆ καὶ ἄνανδρον, πλὴν ποικίλον ἐν πανουργίᾳ καὶ δεινὸν ἐν σκαιότητι, ὃν καὶ μέγαν Δοῦκα ἡ βασιλὶς ἀφφικίωσεν. οὗτος μαθὼν τοὺς τῷ Καντακουζηνῷ ἀπαγγείλαντας τὰ γενόμενα, καὶ συλλαβὼν ἅπαντας προσγενεῖς τε καὶ φίλους, ἐν τῷ φρουρίῳ τοῦ μεγάλου παλατίου ἀπέκλεισε, τὸν ἀριθμὸν ὑπὲρ διακοσίους, ἄνδρας ἡμιθέους Ἥρωας καὶ Πελοπιδῶν, καὶ Αἰακιδῶν ἀπογόνους. τούτους ἔχων ἔνδον ὡς στρουθία εἰς πάγην, καὶ φοβηθεὶς μή ποτε νεωτερίσαντες ἀνθέξωσι τοῦ φρουρίου, καὶ γένωνται οἱ δέσμιοι ἐγκρατεῖς δι' ἐπισκέψεως τῶν συγγενῶν καὶ φίλων (καὶ γὰρ τὸ πλεῖστον τῆς πόλεως μέρος ὅσον τῆς γερουσίας, ὅσον τὸ συρφετῶδες ἐσέβετο τὸν Καντακουζηνὸν ὡς μεγαλοδωρότατον, καὶ εἰς ἅπαντας εὐεργετικώτατον) βουλεύεται βουλὴν πονηράν· τὴν μὲν ἡμέραν ἔχειν ἀλλήλοις τὸν ὅμιλον, καὶ συνδιάγειν ἐντὸς τοῦ φρουρίου τοὺς ἅπαντας, τὴν δὲ νύκτα κατὰ μέρος σὺν δύο, καὶ σὺν τρεῖς ἀσφαλίζεσθαι ἐν οἰκίσκοις τισί. τὸ δὲ βουληθὲν εἰς ἔργον ἤγετο. καὶ δὴ σανίδες, καὶ ξύλα, καὶ τέκτονες παρεσκευάζοντο. ὡς δὲ τὸ πραττόμενον οἱ φρουρούμενοι ἔγνωσαν, εἶπον ἐν αὐτοῖς, οὐκ ἄλλο τοῦτο, πλὴν προφανὴς ἡμέτερος ὄλεθρος. ἡ γὰρ ἀπ' ἀλλήλων διάστασις τὴν νυκτόδα πνιγμονὴν, ἢ τὴν ἐν βυθῷ τῆς θαλάσσης καταποντωσιν προμαντεύεται. ταῦτ' ἔφασκον, καὶ εἰς ἀθυμίαν ἐνέπεσον. Ὁ δ' Ἀπόκαυκος ἐλθὼν τοῦ μεθοδεῦσαι τὰς σκηνὰς, πῶς δεῖ πῆξαι τοῖς ἀρχιτέκτοσι, μόνος ἔφιππος οὐκ ἄλλου τινὸς συνεπομένου πλὴν ἑνὸς δούλου, καὶ τούτου πεζοποροῦντος ὡς ἔθος. ἐντὸς δὲ τῆς θύρας τοῦ φρουρίου γενόμενος, καὶ τοῦτον οἱ ἔσω κατεχόμενοι ὡς φθορέα κοινὸν, καὶ ψυχάρπαγα θεασάμενοι, μίαν τῶν * παρατυχόντων σανίδων φλιᾶς ἕνεκα λεπτυνθεῖσαν, λαβὼν εἷς τῶν φρουρουμένων ἐκ γένους Ῥαοὺλ ἀντὶ ξίφους παίει κατὰ κεφαλῆς τὸν Ἀπόκαυκον. ὁ δὲ κατὰ γῆς ἀπὸ τοῦ ἵππου ὡς ἀπ' οὐρανοῦ ἄλλος Σατὰν πίπτει. ὁ δὲ δοῦλος πλέκεται τῷ Ῥαοὺλ, καὶ ἄμφω μονομαχοῦντες εἱστήκεισαν. Τούτων δὲ ἀσχολουμένων ἐπὶ τῇ πάλῃ, ἕτερος τῶν ἐγκλειστῶν πέλεκυν παρὰ τῶν τοῦ τέκτονος χειρῶν ἁρπάσας τὸν χαμαὶ πεσόντα καρατομεῖ, καὶ τὴν κεφαλὴν ἔν τινι μέρει τῶν προμαχώνων ξύλῳ πεπερονημένην προσπήγνυσι. τοῦτο οὐχ ὡς μικρὰν ἀθυμίαν ἐνέβαλε τοὺς Βυζαντίους σὺν ἅμα τῇ κρατίστῃ, καὶ παντὶ τῷ στρατῷ. ἀλλὰ φύρδην ἅπαντες συνδραμόντες, ἐντὸς τοῦ παλατίου εἰσῆλθον οὐχ ἀκόπως οὐδ' ἀναιμακτὶ, ἀλλὰ μετὰ πολλῆς τῆς βίας, καὶ πάντας κατέσφαξαν, πλὴν ἓξ σωθέντων ἐν τῷ ὑπογείῳ τοῦ ναοῦ τῆς νέας. καὶ γὰρ τοὺς πλείονας ἐν μέσῳ τοῦ ναοῦ τούτου κατέθυσαν, οὐκ αἰδοῖ, ἢ φειδοῖ χρησάμενοι τῶν ἀδύτων ἕνεκα καὶ τοῦ θυσιαστηρίου· ἐξ

* παρατυχουσων

que quem optant habituros; aut, si obsequi renuerit, accusationem criminis manifesti illi intentaturos, aliumque, qui rerum administrationem capessat, suffecturos, at interea Cantacuzeni consanguinei, & affines scriptis clam litteris machinationem fraudemque illi aperiunt: monentque, si volet luce frui, tenebrasque effugere, contumacia usus mandata imperatoria detrectet, quibus obsequentem maneat ante mortem tenebræ. Hæc ubi intellexit Cantacuzenus jussis Imper. spretis palam rebellat: tuncque qui in urbe erant in locum ejus alium præfectum constituunt Alexium Apocaucum virum timidum & ignavum, vafrum tamen & astutum, scelerumque peritum artificem, quem etiam Magni ducis officio & dignitate Imperatrix auxit. Iste, cum rescivisset eos, qui Cantacuzeno insidiarum machinationem & seriem patefecerant, comprehensos omnes ejus consanguineos & amicos supra ducentos viros, Heroae & Semones, Pelopidarum, & Æacidarum abnepotes, in carcere magni Palatii conclusit. Tamquam passeres itaque intra retia præpeditos dum retinet, veretur ne quando novi aliquid moliti custodibus superiores evadant, & vincti Palatium occupent, consanguineorum & amicorum studio & opera adjuti. Potior namque civium pars, cum Senatus, tum plebs Cantacuzenum suspiciebant, quem magnificentissimum & in omnes maxime beneficum experti erant: hac de causa ejusmodi consilium improbum init; Omnes inter se versari familiariterque colloqui intra carceris septa interdiu permittere, per noctem vero separatos binos singulos, vel etiam ternos in quibusdam domunculis custodiæ securioris causa concludere: Jamque consilium peragebatur, asseresque & ligna apparabantur, & fabri advocati erant, cum illud, qui sub custodia tenebantur, senserunt, inque sui certam ac manifestam perniciem parari cognoverunt; illamque per noctem singulorum separationem, strangulationem, aut in profundum mare demersionem prænunciare: hosque sermones dum inter se agitant, animo despondent. Interim Apocaucus fabris ostensurus modum & ordinem, quem tenerent in cameris illis extruendis, nullo comitante equite, sed uno servo, eoque, ut mos ipsi erat, pedibus sequente venit, intraque januam carceris ingreditur; quem mox conspectum, ut communem omnium pestem, vitæque singulorum insidiantem, unus eorum inter præcipuos ea genere *Raoul* apprehensa vice gladii tabula obvia, quæ ad limen statuendum dedolata erat, invadit, ejusque caput percutit, & Apocaucus ab equo, velut alius Sathao de cælo, cadit. At Apocauci servus cum Raoul colluctatur, & ambo tamquam in certamine singulari stant: dumque simul confligunt incarceratorum alius arrepta de fabri manibus securi, humi jacentis caput abscindit, illudque palo infixum in propugnaculi quadam parte depangit. Tantum facinus non parum attonitos reddidit Byzantinos, Imperatricem ipsam, totumque exercitum; omnes itaque concursu ad palatium promiscue facto ingrediuntur, non tamen citra pugnam cædemque, sed multa vi facta sibi via: omnesque trucidarunt, præter sex, qui in subterraneo templi novi monasterii specu delitescentes salvi evaserunt; plurimos etiam in medio templo mactaverunt, nec adytorum, aut altaris majestas & reveren-

Cantacuzeno insidiæ structæ ei patefactæ. Edit. Paris. pag. 9.

Alexius Apocaucus urbi Præfectus.

Romanorum calamitas & amici Cantacuzeni in carcerem conjecti, &

pivor iis injectus de ultimo vitæ discrimine.

Apocaucus ligno caput impacto cæsus a quodam ex genere Raoul.

pag. 10.

Trucidantur incarcerati ob interfectum Apocaucum.

Calamitas ingens.

Avus auctoris hujus historiæ Michael Ducas.

tia, ut parceretur ulli, quicquam valuere. Inter eos equidem, qui tantū periculū erepti sunt, fuit avus meus paternus *Michael Ducas*: Ipsi porro monachorum illius monasterii mantis seu cappis induti Constantinopoli aufugerunt, & in oppositam continentem Asiam transvecti, in regiones orientales alius in Bithyniam, alius alio discesserunt, Avusque meus Asiam petiit, adivitque Jesæum filium Atenis, & ei, sibi quæ acciderant, narrat. Eruditus equidem erat, & scientiarum liberaliumque artium peritissimus, Medicæ artis non ignarus, genus ducens ab antiquis illis Ducis, inque prosapia ista, veluti catenæ annulus aureus splendebat. Hunc ergo honorifice excepit Tyrannus, providetque ut cuncta necessaria commeatusque rerum omnium ei præberentur, beneficiisque cumulato Ephesum habitandam concessit; quæ sedes peregrinæ, æque ac patria, gratæ ipsi ac charæ fuerunt; Barbarum vero & alienigenam non aliter quam divina providentia constitutum Regem veneratione ac cultu prosecutus est, reputans Romæorum scelera, prævidensque brevi Thraciam universam cæterasque ad Danubium pertinentes regiones Turcos invasuros, & subacturos: ut paulo ante Phrygiam, Asiam ulterioresque provincias debellarant, ita annuente Deo, & peccata Romæorum tunc viventium majorumque nostrorum vindicante.

Genus Ducæ ab antiquis illis Ducis.

A ὧν εἷς ὁ πατρὸς πατὴρ καὶ ἐμὸς πάππος ἐτύγχανε Μιχαὴλ Δούκας, οἳ καὶ ἄμφια ἐνδυθέντες μοναχῶν τῶν ἐν τῆς μονῆς ἐξῆλθον τὴν Κωνσταντίνου, καὶ τὴν περαίαν διαβάντες εἰς τὰ μέρη τῆς ἕω διεσπάρησαν, οἱ μὲν εἰς Βιθυνίαν, ἕτερος ἀλλαχοῦ. Ὁ δ' ἐμὸς πάππος εἰς Ἀσίαν, καὶ δὴ ἐντυχὼν τῷ Ἐσαῒ τῷ υἱῷ τοῦ Ἀτίνη, καὶ τὰ κατ' αὐτὸν δῆλα ποιήσας, καὶ γὰρ ὑπῆρχε παιδείας μεστὸς, καὶ πάσης τῆς ἄλλης ἔξω σοφίας ἀνάπλεως, καὶ ἰατρικῆς τέχνης οὐκ ἄμοιρος, γένει τε κατηγόμενος τῶν ἀνέκαθεν Δουκῶν κἀκ τῆς αὐτῆς σειρᾶς χρυσόκοσμος κρίκος· δεξιοῦται τοῦτον ὁ τύραννος, καὶ προνοεῖ, καὶ φιλοτιμεῖται τὸν ἄνδρα, σιτηρεσίοις παντοίοις, καὶ εὐεργεσίαις ἀμείψας, καὶ τοῦτον ἐν Ἐφέσῳ καθίστησι,
B καὶ τὴν μετοικίαν ὡς πατρίδα ἐνηγκαλίσατο. Καὶ τὸν ἀλλογενῆ, καὶ βάρβαρον ὡς θεόσεπτον ἔσεβε καὶ ἐτίμα, εἰς νοῦν λαμβάνων τὰς ἀπαιδαλίας τῶν Ῥωμαίων, καὶ προβλέπων ὡς ὅτι ἐν ὀλίγῳ πάντα τὰ τῆς Θρᾴκης, καὶ μέχρι Δανούβεως, ὑπὸ χεῖρας τῶν Τούρκων πεσοῦνται, καὶ αὐτοκράτορες φανήσονται ὡς ἐν ὀλίγῳ, καθὼς καὶ πρὸ ὀλίγου ἐν Φρυγίᾳ τε καὶ Ἀσίᾳ, καὶ τῶν ἐπέκεινα ἐγένοντο, Θεοῦ παραχωροῦντος διὰ τὰς ἁμαρτίας τῶν τότε πολιτευομένων Ῥωμαίων, καὶ ἡμετέρων ἀποπάππων.

CAPUT VI.

Cantacuzenus calceos purpureos induit, Imperator salutatur & ad Serviæ Cralem fugit, & cum eo fœdus percutit.

Edit. Paris. pag. 11.

JOhannes itaq; Cantacuzenus in superioribus sæpius dictus audita amicorum, ac consanguineorum tam inique patrata cæde (vehementer perculsus est) conspectisque non paucis sanguine & affinitate proximis, tam sibi, quam occisis, qui pulsiti urbe relicta ad eum transierunt, ejulatibusque ac singultibus mixtas querelas in eum jactarunt, se suosque propter illum quotidie trucidari, Romæorumque florem cædibus convulsum radicitus languescere. Imperii sceptrum fœminæ manibus tractari, in illoque transformatum in radium textorium, colo fusoque additis, texendis purpuris inservire. Dignitatem imperialem infanti adhuc lactenti innixam, qui crepundia vix dignoscat & lingua balbutiente eorum nomina vix proloquatur. Magistratus forensis turbæ homines vilesque obtinere. *Crede* inquiunt *verbis nostris, imperiique fasces sume, accinge gladium super femur tuum, intende, procede & regna propter veritatem, mansuetudinem, & justitiam.* Cantacuzenus animo tum revolvens ab Imperatrice & Senatu invidia exagitatis adversum se præter rationem excitatas turbas, insidiisque se petitum, Romæis obtemperat, calceosque purpureos & sericos induit, Imperatorque ab universo exercitu salutatur, Deo, ut mihi visum est, cor ejus indurante, ut seditionibus intestinis scissum Romanum imperium Turci invaderent, omnesque illius provincias vastarent: atque etiam alias gentes Triballos, Mysos, Albanos cæterasque ad occasum sitas; justi-

Cantacuzenus calceos purpureos induit, & ab exercitu Imperator salutatur.

C Ὁ δὲ Ἰωάννης ὁ Καντακουζηνὸς, ὃν καὶ φθάσας ὁ λόγος ἐδήλωσε, μαθὼν τὴν γεγονυῖαν εἰς τοὺς αὐτοῦ συγγενεῖς τε, καὶ φίλους ἄδικον σφαγὴν, καί τινες ἐκ τῆς πόλεως εἰς αὐτὸν ἀφικόμενοι οὐκ ὀλίγοι τὸν ἀριθμὸν, προσγενεῖς ὄντες αὐτοῦ καὶ τῶν φονευθέντων καθ' αἷμα, καὶ ἐξ ἀγχιστείας πλείονες μελανειμονοῦντες παρέστησαν τῷ Καντακουζηνῷ κλαίοντες, καὶ ὀλοφυρόμενοι, καὶ καταβοῶντες αὐτοῦ, ὡς ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, καὶ τοὺς ἡμετέρους ἀποβαλλόμεθα, καὶ τὸ ἄνθος τῶν Ῥωμαίων κατεμαράνθη, καὶ ἀπώλετο· Ἡ βασιλεία ἐν χερσὶ γυναικείαις κερκίδος δίκην παραπλαίθουσα καὶ παρατρακτοῦσα τὰν ἁλουργίδα, ἡ ἀρχὴ ἐν ὑπομαζίῳ βρέφει, μόλις τῷ νοεῖν καὶ τὴν γλῶτταν ἐν παιγνίοις καὶ ψελ-
D λίσμασι ἐνεργεῖν δυναμένῳ. ἡ δυναστεία ἐν ἀγοραίοις καὶ μηδαμινοῖς ἀνδράσι· Πείσθητι τῶν ῥημάτων ἡμῶν, καὶ ἀντιλαβοῦ τὴν ἡγεμονίαν, καὶ περίζωσαι τὴν ῥομφαίαν σου, ἐπὶ τὸν μηρόν σου, καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε ἕνεκεν ἀληθείας, καὶ πρᾳότητος, καὶ δικαιοσύνης. Τότε ὁ Καντακουζηνὸς ἀναλογισάμενος τὰς ἐπαναστάσεις τῆς βασιλίδος, καὶ τῆς συγκλήτου φθόνῳ* φερόμενοι κατ' αὐτὸν, ἀνδ τινὸς ἀλόγου αἰτίας, καὶ τῆς τυχούσης ἐπιβουλῆς, συνυπακούει τοῖς Ῥωμαίοις, καὶ ἀμφιέννυται τὰ κόκκινα καὶ τὰ σηρικὰ πέδιλα, καὶ Βασιλεὺς παρὰ τοῦ στρατοῦ ἀναγορεύεται, οἶμαι τοῦ Θεοῦ εἰς τοῦτο σκληρύναντος τὴν καρδίαν αὐτοῦ, τὸ διχοστατῆσαι τὴν Βασιλείαν Ῥωμαίων, καὶ διὰ μέσου τούτων εἰσάξαι τοὺς Τούρκους τὸ καταφθεῖραι πᾶσαν γῆν Ῥωμαίων τὴν ὑπὸ χεῖρα. καὶ οὐ μόνον Ῥωμαίων, ἀλλὰ καὶ Τριβαλῶν, καὶ Μυσῶν, καὶ Ἀλβανιτῶν, καὶ παντὸς ἄλλου δυτικοῦ ἔθνους, κείμενα εἰς οἶδεν ὁ ἀκοίμητος ὀφθαλμός τὰ μὲν ἄλλα γέ-

* leg. συν- μένων

ση τι·

να τιμωρῶν, διὰ τὰς συνεχεῖς ἀντάρσεις κατὰ Ῥωμαίων· τοὺς δὲ Ῥωμαίους διὰ τοὺς φρικωδεστάτους ὅρκους, καὶ ἀφορισμοὺς ἀφορήτους εἰς ἔφορον κατὰ κεφαλῆς αὐτῶν ὀμνυοῦντας, καὶ ἐξομνυοῦντας τοῦ φυλάξαι τὴν βασιλείαν τῷ υἱῷ τοῦ Λασκάρεως, καὶ μηδ' ὅλως συνομαρτεῖν καὶ συνεταιρεῖν τῷ Παλαιολόγῳ πρὸς ἀποστασίαν. ἀντιστρόφως δὲ πάλιν ἀντομνύειν ὥστε ἔχειν καὶ στέργειν Βασιλέα Ῥωμαίων τὸν Παλαιολόγον, ἀποτυφλώσαντες πρῶτον Ἰωάννην τὸν Λάσκαριν, καὶ ἀναθέματι καθυπαχθέντες αὐτοὶ καθ' ἑαυτῶν, ὡς οἱ Ἰουδαῖοι ἐν τῷ καιρῷ τοῦ δεσποτικοῦ πάθους, ἐπισπάσαντες τὴν ἀράν· οἳ καὶ ἄρδην ἀπώλοντο, ὡς παρακατιὼν ὁ λόγος δηλώσει, τὴν ταυτοπάθειαν τῶν Ἰουδαίων κατακριθέντες ζηλωταὶ τῶν παρανομιῶν γενόμενοι. Εὐθέως οὖν παραλαβὼν ἃς εἶχε δυνάμεις Θρᾳκικάς, καὶ τοὺς ἐκ τῆς πόλεως αὐτομόλους, πρὸς Κράλην Σερβίας παραγίνεται, καὶ τὴν ἅπασαν ἣν ἀδίκως ὑπέστη ζημίαν, καὶ ὄνειδος, καὶ τὴν ἐκ τοῦ γένους τῶν οἰκείων φθορὰν ἅπαντα καταγγείλας. ἦν γὰρ ἀδοκιμῶν ὁ Στέφανος τῷ τότε καιρῷ, τοῦτο γὰρ ἦν τῷ Κράλῃ ὄνομα. Καὶ γάρ, ὡς ἔθος τὸ ὀγκῶδες καὶ βαρὺ ταπεινωθὲν, τὸ κοῦφον καὶ λεπτὸν εἰς ὕψος αἴρεται. αἱ γὰρ δυστυχίαι τῶν Ῥωμαίων, καὶ αἱ καθημεριναὶ ἀλλεπάλληλαι ταραχαί, καὶ οἱ ἐμφύλιοι πόλεμοι τοὺς βαρβάρους καὶ ἀγελαίους ὑπερέχοντας αὐτῶν πεποιήκασιν. Ὅθεν ὁ τῶν Σέρβων ἀρχηγὸς ἐτόλμησεν ἀναδύσασθαι κράτος, καὶ Κράλης ὀνομάζεσθαι. τοῦτο γὰρ τὸ βάρβαρον ὄνομα ἐξελληνιζόμενον Βασιλεὺς ἑρμηνεύεται. Ἐνωτισθεὶς οὖν τῶν ῥημάτων Καντακουζηνοῦ, καὶ πλήρης ἡδονῆς γεγονώς, συνέθετο τὸ δοῦναι αὐτῷ βοήθειαν καὶ ἀρωγὴν πρὸς ἀντιπαράταξιν τῶν Ῥωμαίων, ὃ καὶ πεποίηκεν. Οἱ δὲ τῆς πόλεως μαθόντες τὴν ἀποστασίαν Καντακουζηνοῦ, καὶ τὰ παράσημα τῆς βασιλείας ἐνδυθέντα, καὶ παρὰ πᾶσιν ὡς βασιλέα ἀναγορευόμενον τοῖς ἐν τοῖς Θρᾳκῴοις μέρεσιν οἰκοῦσιν ἄχρις αὐτῆς Σηλυμβρίας, κατωδύνοντο τὴν ψυχήν. καὶ πλήρεις δειλίας καὶ φόβου γενόμενοι συνείχοντο κοινολογοῦντες ὁ καθ' εἷς πρὸς τὸν γείτονα τί ἄρα ἔσται τὸ ἀποβησόμενον *, τίς δὲ ἡ πρὸς τὰ κακὰ ῥέπουσα τύχη τοῖς Ῥωμαίοις ἔκλωσεν;

* lege τί

A tia divina, quæ cuncta providet, pœnas exigente a gentibus, quæ continuis incursibus Romanum Imperium lacessierant, vindicante etiam Romæorum perjuria. Juramentis namque præstitis, addito excommunicationis anathemate diro, fidem suam obstrinxerant imperium servaturos Lascaris filio, nec umquam Palæologi defectioni adhæsuros, aut opem illi laturos. contrario nihilominus jurejurando sanxerunt Imperatorem Romanorum se agnoscere Palæologum, excæcato prius Johanne Lascari. Anathemate itaque perculsi, in se ipsos maledictionem, ut Judæi tempore passionis Domini, atque exsecrationem accersiverunt, penitusque perierunt, ut narrationis series ostendet, iisdem pœnis ac Judæi, quorum scelera imi- B tabantur, damnati. Statim itaque collectis copiis Thracicis, simulque ab urbe transfugis, ad Serviæ Cralem pergit, sibique illatam præter omne jus & fas contumeliam ei ab initio exponit, suorumque affinium cædem. His etenim temporibus Stephanus, hoc enim erat Cralæ nomen, admodum illustris & potens erat; Sic namque accidere solet, ut, corporibus multa mole adsurgentibus, multoque gravitatis pondere depressis ac demersis, quæ levia & tenuia sunt, in sublime ferantur. Romæorum certe infortunia & quotidiani seque serie continua excipientes tumultus bellici atque intestinæ seditiones, barbarorum colluviem superiorem ipsis potioremque reddiderant. Unde Serviorum Prin- C cipi audacia nata vires acquirendi, & Cralæ nomen adsumendi: quæ barbara appellatio Græce reddita βασιλέα (id est Imperatorem) designat. Cum audisset ergo Cantacuzeni querelas lætitia completus, suppetias ei se laturum, ut Romæis resistat, pollicetur, etiamque tulit. At Byzantinos, ubi certiores facti sunt de Cantacuzeni defectione, ipsumque imperii insignia induisse, & ab omnibus, qui Thraciam tenebant, Selymbriam usque proclamatum Imperatorem & agnitum, vehemens animi dolor invasit; tuncque perculsi metu ac terrore omnes, conventus & colloquia agitando disserere inter se vicini de incerto imminentium exitu, in quamve partem fortuna anceps Romæis tot calamitatibus afflictis inclinaret.

Ad Serviæ Cralem fugit Cantacuzenus.

Edit. Parif. pag. 12.

CAPUT VII.

Homur Atinis filius trajecto Hellesponto in Europam venit, Callipolim appellit, & Didymotichum, ubi Cantacuzeni uxor subsliterat, proficiscitur. Turci Thraciam vastant. Smyrna ab equitibus militiæ Hierosolymitanæ capta. Eam frustra recuperare tentat Homur, & in oppugnatione occumbit.

ΤΩΝ τοῦ Ἀτίνη Τούρκου υἱῶν εἷς Ὀμοὺρ ἐπονομαζόμενος, ἀρχηγὸς τῶν ἐν τῇ Σμύρνῃ πολιχνίων, καὶ αὐτῆς Σμύρνης κατὰ διαδοχὴν * λαβόντος τὴν ἡγεμονίαν παρὰ τοῦ πατρὸς αὐτοῦ Ἀτίνη τολμηρὸς ὢν, καὶ θρασυκάρδιος· ἐντυχὼν καὶ λιμένας οὓς ἐγκολπίζεται ἡ Ἰωνία, καὶ δρυμῶνας πολυξύλους καὶ πρὸς κατασκευὰς φορτικῶν ναῶν καὶ μακρῶν νεῶν ἐπιτηδείους κατεσκεύασεν αὐτάρκως πρὸς ἃς ἐβούλετο λῃστρικὰς διήρεις καὶ τριήρεις. καὶ ἐπεμβαίνων αὐταῖς, ἐπόρθει τὰς περικύκλῳ πόλεις καὶ νήσους Μιτυλήνην σὺν πάσῃ νήσῳ Λέσβῳ, Χίον, Σάμον, Νάξον καὶ πάσας τὰς περικύκλῳ νήσους. μαθὼν δὲ τὴν διχοστα-

* λαβὼν

D ATinis Turcorum Principis filiorum unus Homur dictus Smyrnæ, oppidorumque tractus illius Princeps, quam ditionem a patre Atine jure hæreditario obtinuerat, audax ipse & generosus: quosque Joniæ littora in sinus curvata portus efficiunt occupabat, sylvasque arboribus densissimas aptis ad fabricandum naves actuarias longasque triremes; ex quibus materias abunde coegit ad prædatorias biremes triremesque pro libitu construendas; quas cum conscendisset, urbes & insulas in ambitu circumjacentes vastavit, & depopulatus est Mitylenen cum tota insula Lesbo, Chium, Samum, Naxum cæterasque alias vicinas

Homur in Occidentales provincias venit.

insulas. Cum vero nuncius ad ipsum perlatus esset de Romæorum discordia civili, innotuissentque ipsi Johannis Cantacuzeni nobilitas, genusque ab heroibus olim deductum, bellica etiam virtus reique militaris peritia, quæ morum probitati ac prudentiæ conjunctæ erant, consilium improbum inivit. Instructam enim classem quadraginta navium portu deduxit, & Callipolim nullo sollicitante appulit, exscensione demum facta terrestri itinere Didymotœchum inde pervenit, ubi Cantacuzeni uxor cum tota familia subsistebat; In Serviam enim discedens Cantacuzenus universam supellectilem auream atque argenteam cæterasque opes convasatas, liberos simul & uxorem Adrianopoli deduxerat, & Didymotœchum transportarat; securitati insuper oppidi hujus ab ipso provisum, cum ad Cralem se contulit. At Homur cum illum, quem tantopere cupiebat, non invenisset, moleste id tulit, magna siquidem videndi eum cupiditate tenebatur, & alloqui mutuoque jurejurando fœdus ferire, societatemque fraternam & amicitiam firmare, cujus præter mortem non esset alius terminus. Humane ac comiter exceptum Cantacuzena opipare & lautissime omni rerum ciborumque copia domi cum quingentis equitibus Turcis, totidemque peditibus qui triremibus vecti erant, per trimestre tempus commorantem, & tantisper dum Cantacuzenus rediret expectantem habuit. Cæteri interim classiarii simul collecti majoribus navigiis conscensis oram maritimam universam a Callipoli Selymbriam usque deprædari, tamquam Cantacuzeno opem jam ferrent. Id autem specie tantum agebatur, dum serio Thraciæ situm, locorum aditus exitusque explorabant & speculabantur; ipse vero terrestri itinere cum suis Rhedæstum usque obvia diripiens & vastans excurrit, & inde Didymotœchum redit. Cantacuzeni vero reditum cum nimis serum fore intellexisset, velletque ad sua reverti (audierat enim ordinis militaris *Hierosolymitani Rhodios fratres* classe instructa ad *Smyrnæ* portum applicuisse, jamque arcem in ipso ædificare cœpisse nomine sancti Petri dedicatam, in quam fugitivi captivi tuto se recipere possent) ad pacem ineundam, amicitiamque contrahendam optime dispositus discessit, & Cantacuzena dona quamplurima largita hospitem dimisit. Abiit itaque captivos multos secum abducens, hasque primitias erroris sui perceperunt Romæi Thraciam cæterasque occidentis partes incolentes. Nam Bithyni, & Phryges, cæterarumque Orientis præfecturarum incolæ a Turcis in servitutem annis præteritis redacti erant. *Smyrnam* tandem revectus *Homur oppidulum a fratribus militibus jam perfectum absolutumque cernit*, crebrosque & frequentes in eo viros bellicosos & apprime industrios, nihilque constructioni ejus deesse. Acerbo itaque animi dolore correptus, jugiter secum agitare aut oppidum occupandi, aut vitam perdendi consilium. Oppugnatione deinde cœpta non cessavit machinas bellicas experiri, novasque comminisci: noctu ac interdiu, ad pugnam velitationibus lacessere, & cuniculis actis cæterisque molitionibus adhibitis muros perfodere, & evertere; tandemque, velut alter *Bacchus*, frequen-

Homur Callipolim appellit.

Edit. Paris. pag. 13.

Ad Cantacuzenam Didymotichum venit.

Homuris in Thraciam profectio.

Cantacuzena Homurem humane excipit.

Turci oram maritimam Thraciæ latrociniis vastant & regionem explorant.

Equites Rhodii Smyrnam occupant anno Christi 1344.

Homur Smyrnam redit.

Homur Smyrnæ castrum a Rhodiis equitibus ædificatum oppugnat.

pag. 14.

Ἀσίαν τῶν Ῥωμαίων, καὶ ὅπως Ἰωάννης ὁ Καντακουζηνὸς ἀνὴρ εὐγενής τε, καὶ τῶν πάλαι Ἡρώων ἀπόγονος, ἀνδρεῖος, μαχιμώτατός τε περὶ τὰ πολεμικὰ, καὶ συνετὸς ἐν ἅπασιν ἀγαθοῖς ἤθεσι, βουλὴν βουλεύεται πονηράν. στόλον γὰρ εὐτρεπίσας τὸν ἀριθμὸν ὑπὲρ τὰ τεσσαράκοντα λέμβη, καὶ ἐξελθὼν τοῦ λιμένος πρὸς Καλλίπολιν ἀφίκετο αὐτοκάλεστος· ἀφικόμενος ἐξελθὼν διὰ ξηρᾶς ἄχρι Διδυμοτείχου ἀφίκετο. ἔτυχε γὰρ ἐκεῖσε οὖσα ἡ γυνὴ τοῦ Καντακουζηνοῦ πανοικί. ἀπερχόμενος γὰρ αὐτὸς ἐν Σερβίᾳ συναγαγὼν πάντα τὰ ἐν τῷ οἴκῳ χρυσᾶ τε καὶ ἀργυρᾶ καὶ πᾶσαν ἄλλην περιουσίαν, καὶ παῖδάς τε καὶ γυναῖκα, ἐκ τῆς Ἀδριανοῦ εἰς Διδυμότειχον ἤγαγε, καὶ πᾶσαν ἄλλην τὴν B τυχοῦσαν ἐπιμέλειαν τοῦ πολιχνίου παρασκευάσας τότε πρὸς τὸν Κράλην ἀφίκετο. ὁ δὲ Ὀμοὺρ μὴ εὑρὼν τὸν ποθούμενον ἐδυσπάθει, καὶ ἐδυσχέραινε. ἐπεθύμει γὰρ τοῦ ἰδεῖν αὐτὸν, καὶ ὁμιλῆσαι, καὶ ὅρκους δεδωκέναι, καὶ λαβεῖν παρ' αὐτοῦ, τοῦ εἶναι ἐφ' ὅρου ζωῆς αὐτῶν ἀδελφοὺς καὶ συλλήπτορας· ἡ δὲ Καντακουζηνὴ δεξιωσαμένη τοῦτον, καὶ φιλοφρόνως ἀποδεξαμένη συμπάσῃ δαψιλεῖ ζωοτροφίᾳ, καὶ ἐν ἅπασιν ἀγαθοῖς, διήρκεσε μῆνας τρεῖς ἐκδεχόμενος τὸν Καντακουζηνὸν, ἔχων μεθ' ἑαυτοῦ ἕως πεντακοσίους Τούρκους ἱππεῖς, καὶ ἑτέρους τοσούτους πεζοὺς ἐκ τῶν αὐτοῦ τριήρων· οἱ δὲ λοιποὶ τοῦ στόλου συναθροισθέντες, καὶ εἰς τὰ τῶν ὑπερεχόντων πλοίων ἐμβάντες τὴν παράλιον πᾶσαν ἐ- C ληλάτουν ἐξ αὐτῆς Καλλιπόλεως ἄχρι Σηλυμβρίας, ὡς δῆθεν * συμμαχῶν τῷ Καντακουζηνῷ, τῇ δὲ ἀληθείᾳ ἰχνηλατῶν τὴν Θρᾴκης γῆν, αὐτὸς δὲ διὰ ξηρᾶς σὺν τοῖς αὐτοῦ καταδραμὼν ἄχρι Ῥεδαιστοῦ, καὶ κουρσεύσας, καὶ ἀπολέσας ἐστράφη εἰς Διδυμότειχον. ἰδὼν οὖν τὴν ἄφιξιν τοῦ Καντακουζηνοῦ βραδεῖαν οὖσαν, καὶ βουληθεὶς ἀπονόστιμος γενέσθαι (ἤκουσε γὰρ ὅτι οἱ τῆς Ῥόδου φρέριοι στόλον κατασκευάσαντες ἀφίκοντο ἐν τῷ λιμένι τῆς Σμύρνης, καὶ ἤρξατο οἰκοδομεῖν φρούριον ἐν αὐτῷ, ὡς ἐπ' ὀνόματι τοῦ ἁγίου Πέτρου, ἕνεκα σωτηρίας τῶν φυγάδων αἰχμαλώτων) τὰ πρὸς εἰρήνην καὶ φιλίας καλῶς διατεθεὶς αὐτός. ἡ δὲ Καντακουζηνὴ D σὺν δώροις ὅτι πλείστοις φιλοξενήσασα ἀπέπεμψεν· ἐλθὼν μετ' αἰχμαλωσίας ἱκανῆς, ἀπαρχῆς οὔσης τοῦ καρποῦ τῆς ἁμαρτίας τῶν Ῥωμαίων τῶν κατοικούντων ἐν Θρᾴκῃ, καὶ ἐν πάσαις ταῖς κατὰ δύσιν μέρεσιν. οἱ γὰρ Βιθυνοὶ, καὶ Φρύγες, καὶ οἱ ἐν πάσαις τῆς ἑῴας οἰκοῦντες ἐπαρχίαις, προλαβὼν γὰρ ὁ χρόνος κατέφθειρεν, οἱ καὶ ὑπὸ τῶν Τούρκων κατεφθάρησαν. ἐλθὼν δὲ ὁ Ὀμοὺρ ἐν τῇ Σμύρνῃ, καὶ ἰδὼν τὸ πολίχνιον ἤδη ὑπὸ τῶν φρερίων πεπληρωμένον, μεστὸν ἀνθρώπων πολεμικῶν καὶ εὐμηχάνων, πλῆρες κατηργασμένον καὶ μηδεμίας ἄλλης δεούσης οἰκοδομῆς, ᾐδημονήθη τὴν ψυχὴν, καὶ ἐπιμόνως καθ' ἑαυτὸν E ἐβουλεύσατο, ἢ τὸ φρούριον κατασχεῖν, ἢ τὴν ψυχὴν ἀποβάλλεσθαι. ἀρξάμενος δὲ μάχεσθαι καὶ ἀντιμάχεσθαι, καὶ πολεμικὰς μηχανὰς ἐξετάζειν καὶ ἐφευρίσκειν, οὐ διέλιπε νύκτα καὶ ἡμέραν διεγείρων πολέμους διά τε ἀκροβολισμῶν καὶ γαιορυγμάτων, καὶ τειχορυγμάτων καὶ πασῶν ἄλλων κατασκευῶν· ἦν δὲ ἐν τοῖς τοιούτοις ἀγωνίσμασι καὶ παλαίσμασιν ὥσπερ τις ἄλλος Λυαῖος αὐ-

* συμμαχοῦντες legendum, & ἰχνηλατοῦντες.

τειμαχόμενος ἠδυνήθη εἰς τόσον, ὡς καὶ τὴν τάφρον τῆς πολίχνης διαπεράσαι σὺν τοῖς αὐτοῦ, καὶ κλίμακας ἐν τοῖς τείχεσι θεῖναι, καὶ ὡς λυσσητὴρ κύων, ὥρμησεν αὐτὸς πρῶτος ἀναβῆναι, καὶ τὸ τρόπαιον αὐτὸς μόνος λαβεῖν. ἡ δὲ ἄνω πρόνοια, ἡ τὰ πάντα καλῶς ἄγουσα καὶ μεταφέρουσα, ὁρῶσα τὸ θηριόγνωμον αὐτοῦ καὶ δρακόντειον ὅρμημα, μεσάζοντος ἤδη τῆς ἀναβάσεως τῶν βαθμίδων τῆς κλίμακος, καὶ ἀναπετάσας μικρὸν τὴν περικεφαλαίαν ἀπὸ τῆς ὄψεως τοῦ ἰδεῖν τί τὸ ἐλλεῖπον ἀπὸ τῶν προμαχώνος, καὶ βέλος ἀφίεται τζαγρόβελος κατ' αὐτοῦ, καὶ περονᾶται τὸ ἐπισκήνιον μέσον τῶν ὀφρύων, καὶ πίπτει αὔμβαχος ἄνωθεν κάτω, καὶ οὕτω βιαίως ἀπέρρηξε τὴν ψυχήν. ἁρπάσαντες δ' αὐτὸν οἱ στρατιῶται ἔνδον πεσόντα τῆς τάφρου πολλῶν πεσόντων Τούρκων, ἔφερον αὐτὸν νεκρὸν ἐν τῷ πολιχνίῳ τῆς Σμύρνης τὸ κείμενον ἐν τῇ κορυφῇ τοῦ ὄρους, ὅπερ φρούριον ἐτύγχανεν ἀκρόπολις ποτὲ τῆς παλαιᾶς καὶ διεφθαρμένης Σμύρνης, ἀνακαινίσας αὐτὸ πρὸ ὀλίγοις ἔτεσιν Ἰωάννης ὁ Δούκας Βασιλεὺς τῶν Ῥωμαίων. Ἀτὶν δὲ ὁ ἀρχηγὸς Τούρκων, ὁ καὶ πατὴρ τοῦ Ὀμοὺρ παρὰ τῶν Ῥωμαίων ἐν ταῖς ἡμέραις Ἀνδρονίκου τοῦ γέροντος ἔλαβε καὶ κατεῖχε. τοιοῦτον ἤδη τὸ τέλος ὁ Ὀμοὺρ ἔσχε.

A tibus oppugnationibus. & præliis in oppidi fossam penetravit, scalisque mœnibus admotis, tamquam canis rabidus, primus murum subire ausus est, solusque sibi victoriæ trophæum erigere. Verum divina providentia, quæ omnia quo vult agit, & transfert, ferocem animum istius & vehementem impetum intuita, de illo ita decrevit. cum ad medios scalæ gradus jam pervenisset, galeamque ab oculis parum rejecisset, ut, quantum esset propugnaculi pinna inferior, cerneret, sagittarius e superiore propugnaculo cum vulnerat adacto inter media supercilia telo. Percussus Homur ex alto præceps in caput cadit, vitamque hoc violento exitu finivit. in fossam lapsum milites Turci magno numero accurrentes mortuum B in oppidum Smyrnæ vertici montis impositum raptim efferunt: quod castrum veteris eversæque Smyrnæ arx quondam fuerat, non multos ante annos a Johanne Duca Romanorum Imperatore iterum ædificata, quam Atin Turcorum princeps Homaris pater Andronico seniore Imperante a Romanis postea recepit & obtinuit.

Homur a fratibus ii hodis occisus.

Smyrnæ oppidum.

C A P U T VIII.

Cantacuzenus in Thraciam redit. Anna Imperatrix auxilia ab Orchane petit & impetrat. Turci imperii provincias populantur & captivos abducunt.

Ὁ δὲ Καντακουζηνὸς συνθήκας ποιήσας μετὰ τοῦ Κράλη καὶ φιλίαν ἔνσπονδον, μεσολαβούντων κάστρων, καὶ πόλεων καὶ ἐπαρχιῶν τῆς δυστυχοῦς Βασιλείας τῶν Ῥωμαίων, καὶ ἀντὶ Ῥωμαίους δεσπότας * κληροδοθέντες εἰς ἡγεμόνας βαρβάρους, Τελβαλοῦς τε, καὶ Σέρβους. ἤρξατο δὲ κατατρέχειν καὶ αὐτὸς, καὶ ληλατεῖν, καὶ φθείρειν πάσας τὰς πόλεις τῆς Θρᾴκης ἄχρις αὐτῆς Σηλυβρίας. Οἱ δὲ τῆς πόλεως ἐννοήσαντες τὸ γεγονὸς παρὰ τοῦ Ὀμοὺρ τὸν πέρυσιν χειμῶνα, καὶ σκοποῦντες ὅτι τοῦτον ὁ Καντακουζηνὸς μετεπέμψατο, καὶ αὐτὸς ἦν αἴτιος τῆς ἐνδημίας τοῦ Ὀμοὺρ, οὐκ εἰδότες ὅτι αὐτόκλητος ἐλήλυθε, ἢ ὅτι ἠλάθησα. ἀντιστρόφως τὰ νήματα κακῇ τύχῃ τῶν Ῥωμαίων προυξένησεν αὐτὸν τοῦ ἐλθεῖν καὶ καταπατῆσαι χώματα ἀθαλλῆ Ῥωμαίων γῆς, βουλὴν βουλεύονται πονηρὰν, καὶ κατὰ τῆς κεφαλῆς αὐτῶν ὀργὴν καὶ μῆνιν θεήλατον· προξενοῦσι τῇ δεσποίνῃ Ἄννῃ τῇ μητρὶ τοῦ Βασιλέως Ἰωάννου ἔτι μείρακος τοῦ στεῖλαι πρέσβεις εἰς τὸν ἡγεμόνα τῆς Βιθυνίας καὶ Φρυγίας, ἔτι δὲ καὶ Παφλαγονίας, τὸν ὃν ὁ λόγος φθάσας ἐδήλωσε, τὸν Ὀρχάν, τοῦ αἰτῆσαι ἀρωγὴν καὶ βοήθειαν, ὡς ἵνα καταπολεμήσῃ τὸν Καντακουζηνὸν ἀποστάτην ὄντι τῆς Βασιλείας· συνθεμένη δοῦναι αὐτῷ ποσότητα χρυσίου πολλοῦ, καὶ ὡς ἀνδραποδίζωσιν οἱ Τοῦρκοι Ῥωμαίους ὑπηκόους τοῦ Καντακουζηνοῦ, ἔχωσι ἄδειαν πωλεῖν καὶ πιπράσκειν ἔνθα βούλονται. καὶ τοὺς μὴ θέλοντας πωλῆσαι τοὺς αὐτῶν αἰχμαλώτους, ἀνεμποδίστως περᾷν αὐτοὺς ἀπὸ Σκουταρίου, καὶ ἄγειν καὶ φέρειν αὐτοὺς ἔνθα βούλονται. Ταῦτα ἐνωτισθεὶς ὁ Ὀρχὰν, καὶ ἡδέως ἀκούσας, ἐδίψει γὰρ τὴν τοιαύτην πρὸ πολλοῦ χρόνου, καὶ θαρσαλέως πηδήσας, καὶ μετὰ πολλῆς ἡδονῆς τε μετὰ χαρᾶς προσωπείου πέμπει τοὺς πρέσβεις ἀγαλλομένους, καὶ χαίροντας. οὐκ εἰδότες οἱ ἄθλιοι τίνα μετακαλοῦνται εἰς βοήθειαν, καὶ ποίαν βοτάνην ἐκ-

** κληροδοθέντων*

Johannes imperator Constantinopolim propugnaculis munire cogitat & perficit.

Edit. Paris. pag. 25.

Bajazite jubente illa diruit.

fectus, & uti verum dicam, deliciis nimioque cibo & potu semimortuus) nullum etiam præter Manuelem superstitem filium habens, quem heredem imperii, sibique successorem relinqueret, propugnaculum solo æquat, certisque indiciis notum facit Tyranno, peracta esse quæ jusserat. Imperator certe cum tam acerba nefariaque mandata ipsi nunciata sunt, corporis doloribus adhuc conflictatus, fato cessit. Manuel audita patris morte nocte in fugam se conjicit, inque urbem pervenit, & postquam parentem mortuum de more luxisset, sollicitus atque anxius admodum propter Tyrannum erat dubius an se, & urbem ille bello petat. At Tyrannus cognita imperatoris morte, Manuelisque fuga, ægre & moleste id ferens in domesticos ira ac furore percitus excanduit, quod eorum nullo animadvertente aufugisset; illum quippe occidere destinaverat, si in potestate sua habuisset. Statim ergo ad imperatorem Manuelem Apocrisiarios mittit, qui ei denunciarent sibi visum esse, ut in urbe Constantinopoli suorum judicum & jurisperitorum unus, quem Cadin ipsi appellant, resideret ac jus diceret: non æquum esse asserens Musulmanos mercaturam exercentes & Constantinopolim frequentantes, natis litibus & controversiis in jus vocari, & pro tribunali Cavuridum vadimonio adesse; sed oportere Musulmanum a Musulmano judicari, aliaque similia supra modum iniqua & injusta per calumniam proponit. hæc tandem ferociter ac superbe addit: *nisi velis quæcumque tibi impero exequi, quæque postulo concedere, portis urbis clausis in ea regna, quæ extra muros sunt, omnia possideo.* Eodem tempore Tyrannus ea Bithynia in Thraciam trajicit, omniaque oppida & vicos, intra præfecturæ urbanæ limites a Panido ad urbis mœnia evertit, incolasque alio transportat. Thessalonicam inde cepit, oppidulaque alterius sita. Abranezem etiam in Peloponnesum mittit, qui universam Spartanam regionem Achaiamque diripuit; & adversus urbes ad Pontum Euxinum sitas Turachanem, qui eas devastavit. Utque plane quod res est dicam, omnia eversa ac desolata sunt, intraque urbem non messor erat, non qui triticum trituraret, sed ira, fame, ac desperatione laborabatur. Tyrannus equidem bello non tentabat urbem, pinnas murorum dejiciendo, eoive machinis ullis quatiendo, nec præterea velitationibus aut levibus oppugnationibus lacessebat sed aderant militum supra decem millia, quos longe a muris in ambitu habebat obsidentes aditus, observantesque ne quid in urbem importaretur, aut ea exportaretur. Fames propterea in urbe ingravescebat, deficientibus tritico, vino, oleo cæterisque alimentorum speciebus: utque panem coquerent cæteraque obsonia, quæ coqui conficiunt, quod lignum ipsos deficeret, domos altas diruerunt, trabibusque earum ad ignem usi sunt. In ejusmodi angustiis constitutus imperator, nullumque præsens auxilium cernens, ad Papam, Regem Franciæ, & Hungariæ Cralem scribit, monetque Constantinopolim obsidione cingi, & in ea conclusum se esse ad rerum omnium penuriam redactum; & nisi prompte auxilium opemque ipsi tulerint, in hostium fidei Christianæ manus urbem concessuram. His permoti occidua-

Obiit Imp. Johannes anno mundi 6899 Indict. 2. Christi 1391.

Bajazetes duras conditiones Manueli imperat.

Edit. Paris. pag. 26.

Anno Hegiræ 701. Ziumasilachir 19. Christi 1301. Maii 25. Thessalonica capta a Bajazete. Abranezes Peloponesum invadit.

Vide summam penuriam. Constantinopolis circumsessa.

Manuel opem sibi ferri a Christianis principibus poscit.

A ἦν γὰρ κατάκοιτος, καὶ ἀλγῶν τοὺς πόδας, ἡμιθανὴς, ὡς εἰπεῖν, ὑπὸ πολλῆς ἀδδηφαγίας, καὶ πολυποσίας, καὶ τῶν ἡδυπαθειῶν, μὴ ἔχων ἕτερον ἀντὶ τοῦ Μανουὴλ στέψαι, καὶ καταλιπεῖν Βασιλέα, βάλλει τὸ φρούριον κάτω, καὶ μηνύει τῷ τυράννῳ δι' ἐναργῶν ἀποδείξεων, ὅτι τὸ κελευσθὲν πέρας εἴληφεν. Ὁ δὲ Βασιλεὺς ἀκούσας τὸ πικρὸν καὶ ἀπαίσιον μήνυμα ἔτι * ὅπως ἐν ὀδύναις σωμάτων ἀπέδωκε τὸ χρεών. Ὁ δὲ Βασιλεὺς Μανουὴλ μαθὼν τὸν θάνατον τοῦ πατρὸς αὐτοῦ διὰ νυκτὸς φυγὰς ᾤχετο, καὶ δὴ καταλαβὼν τὴν πόλιν, καὶ τὸ πένθος τοῦ πατρὸς αὐτοῦ ὡς ἔθος πληρώσας ἐκάθητο μεριμνῶν περὶ τοῦ τυράννου, τί ἄρα βούλεται κατ' αὐτοῦ, καὶ κατὰ τῆς πόλεως· ὁ δὲ τύραννος μαθὼν τὸν
B θάνατον τοῦ Βασιλέως, καὶ τὴν φυγὴν τοῦ Μανουὴλ ἐλυπεῖτο, καὶ ἐδυσχέραινε· καὶ κατὰ τῶν οἰκείων ἐμαίνετο πῶς διέδρα, καὶ οὐδεὶς αὐτὸν ἔγνω. ἐβούλετο γὰρ θανατῶσαι αὐτὸν, εἰ ἐν χερσὶν ἔτυχεν ἄν. τότε στέλλει πρὸς τὸν Βασιλέα Μανουὴλ ἀποκρισιαρίους, ζητῶν ὅτι βούλεται τοῦ εἶναι καὶ διαμένειν ἐντὸς τῆς πόλεως ἕνα τῶν αὐτοῦ κριτῶν, καὶ νομιμαρίων, ὃν αὐτοὶ καλοῦσι Καδῆν· οὐκ εἶναι δίκαιον λέγων τοὺς Μουσουλμάνους ἐν ἐμπορίαις ἀσχολουμένους, καὶ ἐν τῇ Κωνσταντίνου ἀπερχομένους, διά τινων ὑποθέσεων, καὶ ἀμφιβολιῶν παρίστασθαι τοὺς Μουσουλμάνους ἐν κριτηρίῳ Καβουξίδων, ἀλλὰ τὸν Μουσουλμάνον διὰ Μουσουλμάνου κρίναι, καὶ ἕτερα παραπλήσια γέμοντα φόρτους ἀδικίας, καὶ συκο-
C φαντίας. τέλος, εἰ οὐ βούλει ποιῆσαι, καὶ δοῦναι ὅσα σοι προστάττω, κλεῖσον τὰς θύρας τῆς πόλεως, καὶ βασίλευε ἐν μέσῳ αὐτῆς. τὰ δὲ ἐκτὸς αὐτῆς ἐμὰ πάντα εἰσί. Τότε ὁ τύραννος περάσας ἀπὸ Βιθυνίας εἰς Θρᾴκην, πάντα τὰ τῆς πόλεως ἄστη κατέσκαψε, καὶ τοὺς οἰκήτορας μετῴκισεν ἀπὸ Πανίδου ἄχρι αὐτῆς τῆς πόλεως. εἷλε καὶ Θεσσαλονίκην, καὶ τὰ μετὰ τὴν Θεσσαλονίκην χωρία· εἰς Πελοπόννησον δὲ πέμπει Ἀβρανέζην ἀρχηγὸν, καὶ ληλατεῖ πᾶσαν Λακεδαιμονίαν, καὶ Ἀχαΐαν. ἐν δὲ τῇ πόλεσι τῇ πρὸς Εὔξεινον πόντον κειμέναις πέμπει Τουραχάνην, καὶ ἐρημίᾳ ἠρήμωσεν αὐτάς· καὶ ἁπλῶς εἰπεῖν τὰ πάντα ἠφανίσθη, καὶ γεγόνασιν ἄοικα. Ἡ δὲ πόλις οὐκ
D εἶχεν οὐ τὸν θερίζοντα, οὐ τὸν ἀλοῶντα, ἀλλὰ τῷ μεγέθει τοῦ λιμοῦ ἐστενοχωρεῖτο, καὶ ἀπεβάλλετο τὴν ψυχήν. οὐ γὰρ ἐπολέμει ταύτην ὁ τύραννος, οὐδὲ ῥιψεπάλξεις, οὐδὲ τοιχεπάλξεις, οὐδ' ἀκροβολισμοὺς, οὐδ' ἄλλο τι τῶν μηχανικῶν ἀντεπήγαγεν. ἀλλὰ μόνον ἀνθρώπους ὑπὲρ μυρίους καθημένους κύκλῳ μακρόθεν, καὶ προσέχοντας τὰς διεξόδους, τοῦ μὴ ἐξέρχεσθαι, ἢ εἰσέρχεσθαι τί ἐν αὐτῇ. Ἐγένετο οὖν λιμὸς ἰσχυρὸς ἔνδον τῆς πόλεως ἀπό τε σίτου, οἴνου, ἐλαίου, καὶ ἑτέρων εἰδῶν· πρὸς δὲ χρείαν ἄρτου, καὶ πάσης ἄλλης κατασκευῆς, ἣν ὑπουργοῦσι μαγείρων παῖδες, ἐνδείας οὔσης ξύλων, κατέρριπτον τὰς ἐξαισίους οἰκίας, καὶ τὰς δοκοὺς κατέκαιον. Ὁ δὲ
E βασιλεὺς Μανουὴλ ἀπορήσας, καὶ μηδεμίαν βοήθειαν οὖσαν ἐξ ἅπαντος γράφει πρὸς Πάπαν, πρὸς τὸν Ῥῆγα Φραγγίας, πρὸς τὸν Κράλην Οὐγγρίας μηνύων τὸν ἀποκλεισμὸν, καὶ τὴν στενοχωρίαν τῆς πόλεως. καὶ εἰ μὴ τάχος φθάσει ἀρωγή τις καὶ βοήθεια, παραδίδοται εἰς χεῖρας ἐχθρῶν τῆς τῶν Χριστιανῶν πίστεως. Καμφθέντες οὖν ἐπὶ τούτοις τοῖς λόγοις οἱ τῆς ἑσπερίας ἀρχηγοὶ, καὶ πρὸς ἀντιπαράταξιν τῶν ἐχθρῶν τοῦ σταυροῦ

* l. ὡς

καθοπλίσαντες ἑαυτοὺς, ἦλθοσαν εἰς Οὐγγρίαν ἔαρος A ἀρξαμένου, ὅ, τε Ῥὴξ * Φιλάνδρας, καὶ ἐκ τῆς Ἰγγλυτέρου πλεῖστοι, καὶ τῆς Φραγκίας οἱ μεγιστᾶνες, καὶ ἐκ τῆς Ἰταλίας οὐκ ὀλίγοι· καὶ δὴ πρὸς τὰς ἐπιτολὰς τοῦ κυνὸς ἔπηξαν τὰς σκηνὰς παρὰ τὰς ὄχθας τοῦ Δανούβεως, ἔχοντες μετ' αὐτῶν τὸν Κράλην Οὐγγρίας Σιγισμουνδον, ὃς καὶ Βασιλεὺς τῶν Ῥωμαίων ὑπῆρχέ τε, καὶ ἐλέγετο· καὶ δὴ περάσαντες τὴν περαίαν ἐν Νικοπόλει, καὶ καλῶς ἑτοιμασθέντες κατὰ τοῦ Παγιαζὴτ ὡπλίζοντο. Ὁ δὲ Παγιαζὴτ πρὸ ἱκανὰς ἡμέρας μαθὼν τὴν ἄθροισιν τῶν γενῶν τῶν ἀπὸ ἑσπερίων, καὶ συναθροίσας καὶ αὐτὸς ἅπαντα τὸν στρατὸν αὐτοῦ, ἀνατολῆς τε, καὶ δύσεως, καὶ αὐτοὺς τοὺς φυλάττοντας τὴν πόλιν, κατὰ πρόσωπον ἔλαυνε. καὶ περάσας τὴν Φιλίππου, καὶ τὰ ὄρη τὰ ὑπερμεγέθη, B καὶ τοὺς λιβάδας καταντήσας τοὺς πρὸ Σοφίαν, ἐκεῖ αὐτοὺς ἀπεκδέχετο· τῇ ἐπιούσῃ τοίνυν ἐμφανεῖς γενόμενοι οἱ Χριστιανοὶ, καὶ κατὰ στεῖραν παραστάντες, συνασπισμὸν ποιησάμενοι, πρῶτον τὸ μέσον διέῤῥηξαν τῆς τῶν πολεμίων φάλαγγος λίαν ἀνδρείως ἀγωνιζόμενοι, καὶ κατακόπτοντες τοὺς ἀνθισταμένους, ἕως διήλασαν, καὶ ἐς αὐτὴν τῶν πολεμίων οὐραγίαν. καὶ συστρέψαντες αὖθις πάνυ ἔδρων τὰ κράτιστα, ὡς ἀπράκτους ἤδη φαίνεσθαι τοὺς τῶν Τούρκων σφενδονήτας τε καὶ τοξότας. Ὡς δ' οἱ τῆς Φλάνδρας ἰδὸν τὸν πόλεμον δεξιῶς πρὸς τοὺς Τούρκους ἀντικαθισταμένων, καὶ τὰ πρὸς φυγὴν ὁρμώμενοι, καὶ αὐτοὶ C χύδην ὄπισθεν ἔτρεχον, καὶ τὰς παρεμβολὰς τῶν Τούρκων διαβάντες, καὶ αἱματόφυρτα τὰ τέλματα τοῦ πεδίου ἐργασάμενοι, εἰς τὰς αὐτῶν παρεμβολὰς ὑπέστρεφον· Οἱ δὲ Τοῦρκοι σὺν τῷ ἀρχηγῷ Παγιαζὴτ, οἵ τινες πόρτα καλοῦνται, οἷον θύρα τοῦ παλατίου τῆς αὐλῆς ὄντες, ἀργυρώνητοι πάντες, καὶ ἐκ διαφόρων γενῶν τῶν ἀπαρνηθέντων ἐν Χριστιανοῖς, ὑπὲρ μυρίους ὄντες καὶ ἐν λόχμῃ τινὶ κεκρυμμένοι διὰ τὸ ἀνύποπτον, συμφρονήσαντες αὐτοβοεὶ τε κατὰ τῶν Φράγκων καὶ τῶν Οὔγγρων ὁρμήσαντες, καὶ κατὰ κύκλον περιελθόντες, καὶ συμμίξαντες τοὺς μὲν ἔργον ἀπέφαινον ξίφους, τοὺς δὲ φυγάδας ἐποίουν. στραφέντες δὲ οἱ τῶν Φρανδάλων, καὶ ἰδόντες τὴν D τροπὴν τῶν Οὔγγρων, καὶ τοὺς Τούρκους ἀλαλάζοντας, καὶ εἰς ἀέρα φωνὰς πέμποντας καὶ κατόπιν τρέχοντας· ἐξαίφνης ἄλλοι σὺν βοῇ ταραχώδει, καὶ σαλπίγγων ἠχῇ ἐπεισπεσόντες τοῖς Φράγκοις, τοὺς μὲν ἐδίωξαν, ἄλλους δὲ ἔβαλλον κάτω τῶν ἵππων, καὶ τοὺς ἑτέρους τοὺς ἀνθισταμένους κατέσφαξαν· καταδιώξαντες τοὺς λοιποὺς ἄχρι Δανούβεως, ὧν πλεῖστοι ἐν τῷ ποταμῷ ἔῤῥιψαν ἑαυτοὺς, καὶ ἀπεπνίγησαν. ἐζώγρησαν ἔτι ζῶντας μεγιστᾶνας τὸν Δοῦκα τῶν * Φρανδάλων καὶ Μπουργουνίας, καὶ ἑτέρους Φραγκόπουλους, καὶ ὑψηλοτάτους Μπαρούνιδας. οὓς πέμψας ἐν τῇ Προύσῃ ἀπέκλεισε, καὶ διὰ πολλῶν χρημάτων ἀπεμπόλησε, δόντες ἐγγύην τὸν αὐθέντην Μιτυλήνης, καὶ υἱὸν τοῦ προῤῥηθέντος Φραντζίσκου τοῦ Γατιλούζου.

*I. Φλανδρων

* Φλανδρων

A rum regionum principes ad resistendum crucis hostibus armantur, ineuntéque vere in Hungariam accedunt Flandriæ Comes, Anglorumque manus magna, Franciæ quoque proceres, & Italorum non pauci; perque sidus caniculæ ad Danubii ripam castrametati sunt; quibus Hungariæ Crales Sigismundus se adjunxerat: Romanorum imperatoris erat, & ita appellabatur, & cum Nicopoli in alteram oppositamque Danubii ripam trajecissent, ad prælium contra Bajazitem strenue capessendum sese compararere. Ante multum tempus certior factus erat Bajazites, gentes occidentales exercitum conscribere, quapropter orientis atque occidentis copias in unum coegit: quibus adjunxit eas, quæ urbem obsidebant, & in oc- B cursum occidentalium educit: prætergressusque Philippopolim, montesque altissimos ad paludes, quæ Sophiæ vicinæ sunt, accessit, illicque expectans substitit. Postridie Christiani acie instructa in conspectum Turcici exercitus procedunt, & testudine facta primo impetu mediam hostium phalangem perrumpunt, & strenue admodum pugnant; & donec ad postremam aciem hostium penetrassent, omnes, qui restiterunt, concidant. Iterumque globo conferto rem ita strenue gesserunt, ut Turcorum funditorum & sagittariorum operam inutilem redderent. Ubi demum Flandricæ cohortes pugnam adversus Turcos feliciter cedere animadverterunt & horum C pleroique fugæ se committere, affuso cursu turbatisque ordinibus tergo instant, & in medios Turcicæ aciei ordines penetrant, occisorumque cruore cœnosas lacunas camporum complent; inque ordines eosdem remeando impetu ruunt. Tum demum principis Bajazitis satellites, qui *Porta* vocantur, veluti ad aulæ Palatinæ januam stantes, pecunia empti omnes, exque variis Christianis gentibus supra decem millia coacti, in insidiis delitescentes, uno impetu, ac clamore in Francos, ac Hungaros impressionem faciunt: eosque undique circumdatos consertis manibus partim ferro cædunt, partim in fugam vertunt. Flandri vero a prælio se recipientes ab D fugatos Hungaros, fusosque vident, Turcosque lætitiæ vocibus ac clamoribus aerem complere, & a tergo instare, fugam capessunt: partimque ab hostibus cum clamore & tubarum clangore insequentibus profligantur, partim equis deturbantur. repugnantes neci dederunt Turci, cæterosque ad Danubii ripam persecuti sunt, quorum plurimi in fluvium præcipites ruerunt, & aquis absorpti sunt. Multos itaque principes viros ac magnates vivos ceperunt, Ducem Burgundiæ, qui & Flandriæ Comes erat, aliosque Francos & illustres Barones, quos Prusam misit Bajazites & illic captivos vinctosque detinuit: multisque deinde pecuniis vendidit, sponsore vadeque accepto Mytilenes Principe, Francisci Gateluzi supra memorati filio.

Hungari & Rege adversus Turcos.

Edit. Paris. pag. 27.

Vide viros fortes misere pereuntes.

Clades a Christianis accepta anno 1302. Septemb. 794. ad finem decumbente juxta Annal. Turc. juxta omnes Historicos occidentales anno Christi 1196.

Edit. Paris. pag. 28.

CAPUT XIV.

Bajazites Constantinopolim sibi dedi petit: & Johannem ejecto Manuele imperatorem constituit. Manuel saluti urbis ac plebis consulens Constantinopoli discedit & in Peloponesum, hinc in Italiam proficiscitur, & occidentalibus regnis ac provincus peragratis in Peloponesum revertitur.

Bajazites Constantinop. sibi dedi insolenter postulat. Christi 1339. juxta Annal. Turc.

A TAm prospero successo superbiens, ac supra modum elatus Turcus ad imperatorem Manuelem Apocrisiarios mittit, urbemque Constantinopolim sibi tradi per eos poscit, nec tamen aliquod responsum accipit. Maxima pars interim civium fame laborantes conflictabantur, urbemque Turco prodi malebant: tamen cum eorum memoriam subirent, quæ in Asia a Turcis parrata erant, urbiumque eversiones, sacrorum templorum desolationes ac pollutiones: quibusque calumniis & vexationibus tentarentur singulis horis, adque pietatem ejurandam cogerentur, animum a tali proposito revocabant, his additis verbis: *labore atque ærumna ne fatiscamus, speque nostra in Deum reposita ad breve tempus sustineamus;* B *nam quis novit an Deus erroribus ac peccatis nostris dissimulatis, sicut olim Ninivitarum, nostri non miserebitur? & a fera ista salvos, integrosque præstabit.* At Tyrannus quanto obfirmatos civium animos videt, suæque libidini haud obtemperantes, tanto feritas illius in eos exasperabatur. Quid demum accidit? Andronicus ille paulo prius nobis dictus, imperatoris Manuelis frater Selymbriæ superstite filio Johanne adolescente jam obierat. Hic virilem ætatem adeptus ditionem paternam obtinuit, a quo Bajazites Selymbriam sibi tradi poscebat: quod minime tolerans Johannes, patri sibique illatam ab avo injuriam allegavit; quod cum imperii successio ad patrem ejusque posteros jure deferretur, C avus inique in eos se gerens secundo filio illud tradiderit, & *patri*, inquit, *meo hoc oppidulum concesserit, quod si occupaveris damno haud mediocri afficior.* Tunc Bajazites cum aliam occasionem nactus esset a proposito tali divertit. Jamdiu ille, quibus artibus Constantinopolim invaderet, animo versabat: non omisit itaque nomen obtendere Johannis, qui Manuelis ex fratre nepos erat, jubetque Manuelem urbe cedere, & Johannem in illam introduci, ad quem naturæ lege imperium pertinebat; pollicebatur insuper cum civibus Constantinopoleos deinceps se pacifice acturum. Cum itaque populum dissidiis agitatum sensisset Manuel, & adversum se seditione ac clamoribus insurgere; D aliosque audaciam sumentes conclamare, ut Johannes introduceretur, & tollerentur scandala: audiissetque passim murmurantes & accusantes, quod imperii solio non cederet, illudque legitimo successori non restitueret, sed tyrannice regnare vellet salutis publicæ immemor: Ipse prudentia ac eruditione apprime instructus, sapiens commodumque consilium init: & Johanni, qui in castris Turcorum cum exercitu duodecim millium militum erat, denunciat, eum in urbem accepturum esse, & introducturum accepto daroque utrinque juramento, eique imperium restituere velle, modo sibi liceat urbe ex-

Johannes cæcus Andronici luminibus privati F. cedere Selymbriam a Bajazite sollicitatus sed recusat.

Bajazites Johanne ejecto Manuelem imperatorem Constantinopolitanum facit.

pag. 29.

Manuelis Imperatoris in Italiam profectio, & Johannis ejus nepotis in urbem Constantinopolim ingressus.

A ΦΥΣΙΩΘΕΙΣ οὖν ἐν τῷ τοιούτῳ εὐτυχήματι, καὶ λίαν ἐπαρθεὶς πέμπει πρὸς τὸν Βασιλέα Μανουὴλ ἀποκρισιαρίους, ζητῶν τὴν πόλιν· αὐτὸς δὲ οὐδ᾽ ἀπόκρισιν ἔδωκεν. οἱ δὲ πλεῖστοι τῆς πόλεως βιαζόμενοι ὑπὸ τοῦ λιμοῦ συνεθλίβοντο μὲν, καὶ δοῦναι προῃροῦντο τὴν πόλιν. ἀλλ᾽ ὑπομιμνήσκοντες τὰ πραχθέντα ἐν τῇ Ἀσίᾳ παρὰ τῶν Τούρκων, τὴν φθορὰν τῶν πόλεων, τὴν ἐρήμωσιν τῶν ἱερῶν τεμενῶν, τοὺς καθ᾽ ἑκάστην ὥραν πειρασμοὺς καὶ συκοφαντίας τοῦ ἐξομόσασθαι τὴν εὐσέβειαν, ἐπιθόρμως τοῦ κακοῦ ἦλθον, λέγοντες· μὴ ἀποκάμωμεν, θέσωμεν εἰς Θεὸν τὰς ἐλπίδας ἡμῶν, ἔτι μικρὸν ὑπομείνωμεν, καὶ τίς οἶδεν εἰ ἄρα ὁ B Θεὸς παριδὼν τὰς ἁμαρτίας ἡμῶν, ὡς ποτὲ τοὺς Νινευΐτας ἐλεήσει; καὶ σώσει ἡμᾶς ἀπὸ τοῦ θηρίου τούτου. Ὁ δὲ τύραννος ὅσον ἔβλεπε τοὺς πολίτας ἀνθισταμένους, καὶ μὴ ἐνδόντας τοῖς αὐτοῦ θελήμασι, τοσοῦτον ἠγρίαινε, καὶ ἐθυμοῦτο κατὰ τῆς πόλεως. Τί δὲ συνέβη; ὁ πρὸ μικροῦ λαληθεὶς Ἀνδρόνικος, καὶ ἀδελφὸς τοῦ Βασιλέως Μανουὴλ, ἦν τεθνηκὼς ἐν Σηλυμβρίᾳ, ὁ δὲ μεῖραξ Ἰωάννης ὁ υἱὸς αὐτοῦ ἀνδρωθεὶς, καὶ τὸν τόπον ἐπέχων τὸν πατρικὸν, ἐζητεῖτο παρὰ τοῦ Παγιαζὴτ Σηλυμβρίαν. ὁ δὲ οὐκ ἠνείχετο, λέγων, καὶ διηγούμενος τὴν ἀδικίαν ἣν ἔπαθε παρὰ τοῦ πάππου αὐτοῦ αὐτὸς, καὶ ὁ πατὴρ αὐτοῦ. καὶ ἀνήκοντο εἰς αὐτοὺς τὸ βασίλειον, ὁ δὲ, ἀδικήσας αὐ- C τοὺς, ἔδωκε τὴν βασιλείαν τῷ δευτέρῳ υἱῷ, καὶ τὸν ἐμὸν πατέρα τὸ πολίχνιον τοῦτο ὡς ὁρᾷς· εἰ δὲ καὶ σὺ τοῦτο λάβοις ὑπερηδίκημαι. Τότε ὁ Παγιαζὴτ χώραν εὑρὼν ἄλλην ἐτράπη· ζητῶν γὰρ ἐκ τότε τὴν Κωνσταντίνου, καὶ τὸ τοῦ Ἰωάννου τοῦ ἀνεψιοῦ τοῦ Μανουὴλ ὄνομα οὐκ ἔλιπε, λέγων· ἔξελθε σὺ Μανουὴλ ἐκ τῆς πόλεως, εἰσαχθήτω ὁ Ἰωάννης ὡς φύσει κληρονόμος τῆς βασιλείας, καὶ ἐγὼ παντοίαν γαλήνην ἕξω, καὶ εἰρηνικὴν κατάστασιν σὺν τοῖς πολίταις. Τότε ὁ Βασιλεὺς Μανουὴλ ὁρῶν τὸν δῆμον ἐν διχοστασίαις σαλευόμενον, καὶ τὸ μὲν ἀνταῖρον ἦν καὶ καταβοῶν, τὸ δὲ καὶ μάλα ἐθαρρύνετο, καὶ ἐκέκραγε, ὡς Ἰωάννης εἰσαχθήτω, καὶ ἀρ- D θήτω τὰ σκάνδαλα. Ὁ δὲ Βασιλεὺς Μανουὴλ καὶ συνετὸς ὢν, καὶ παιδείας μεστὸς, ὁρῶν τὸν χυδαῖον λαὸν παραψιθυρίζοντα καὶ αἰτιῶντα, ὡς οὐ παραχωρεῖ τῷ ἐφέδρῳ τὴν καθέδραν, ἀλλὰ τυραννικῶς ἡγεμονεύειν ἐθέλων οὐ φροντίζει τὰ περὶ τῆς σωτηρίας τοῦ κοινοῦ, βουλὴν βουλεύεται σοφωτάτην καὶ μάλα συνετικήν. μηνύει τῷ Ἰωάννῃ παρακαθημένῳ τότε τῇ Κωνσταντίνῃ σὺν Τούρκοις χιλιάσι δέκα, καὶ δίδωσι ὅρκους αὐτῷ, καὶ λαμβάνει παρ᾽ αὐτοῦ τοῦ εἰσαχθῆναι ἐντὸς τῆς πόλεως, καὶ παραδοῦναι αὐτῷ τὴν βασιλείαν τῶν Ῥωμαίων. αὐτὸς δὲ ὁ Μανουὴλ ἐξελθεῖν σὺν ταῖς τριήρεσι ταῖς ἀπεσταλμέ-

A ναις, καὶ ἀπιλθεῖν ὅπη ἄρα Θεὸς βούλεται. πεισθεὶς οὖν τοῖς ῥήμασι, καὶ τοῖς ὅρκοις εἴσεισι· καὶ δὲ φιλοφρόνως δεξάμενος αὐτὸν ὁ Βασιλεὺς, καὶ παραδοὺς αὐτῷ τὸ παλάτιον, καὶ δημηγορήσας κατενώπιον πάντων τῶν ἀρίστων, καὶ τῶν τοῦ δήμου, αὐτὸς ἐν τριήρεσιν ἐμβὰς σὺν γυναικὶ καὶ τέκνοις ἐξῆλθε τῆς πόλεως, παραδοὺς τὴν βασιλείαν τῷ Ἰωάννῃ. Τίς δὲ ὁ σκόπος τοῦ Παγιαζὴτ, καὶ τίς τοῦ βασιλέως Μανουήλ; ὁ μὲν Παγιαζὴτ ἐφαντάζετο τὴν πόλιν ἔχειν ἐκ χειρὸς τοῦ Ἰωάννου. καὶ γὰρ προεζήτησε τοῦτο, καὶ αὐτὸς ὑπέσχετο, καὶ ὁ Παγιαζὴτ ἀντὶ τῆς πόλεως ὑπέσχετο δώσειν τὴν Πελοπόννησον εὐόρκως, καὶ εἰς τὸ ἑξῆς ἔχειν εἰρηνικὴν κατάστασιν· B Ὁ δὲ βασιλεὺς Χριστιανικώτατος ὢν, καὶ μεμυημένος τὰ θεῖα, καὶ ἐν φρονήσει μεστὸς, ὁρῶν τὸ ὑπήκοον ἅπαν ταλαιπωρούμενον ὑπὸ ἐνδείας (μόδιος γὰρ σίτου ὑπὲρ τὰ εἴκοσι νομίσματα. καὶ τὸ νόμισμα;) οἴνου τὸ ὁμοίως, καὶ ἄλλων ἀναγκαίων τροφῶν λεῖψις. ἐξ ἀνάγκης ὁ κοινὸς λαὸς εἰς ἀπιστίαν, καὶ προδοσίαν πατρίδος ἑώρα, καὶ αὐτὸς ἐξωμολογεῖτο καθ' ἑκάστην ὥραν τε καὶ ἡμέραν τῷ Θεῷ, λέγων· Μή μοι γένοιτο Χριστὲ Βασιλεῦ, μηδὲ ἀκουσθήτω ἐν τοῖς ἀπείροις ἔθνεσι τῶν Χριστιανῶν, ὅτι ἐν ἡμέραις Μανουὴλ τοῦ βασιλέως παρεδόθη ἡ πόλις, καὶ τὰ ἐν αὐτῇ ἅγια καὶ τίμια σκεύη τοῖς ἀσεβέσι, καὶ χριστομάχοις· Εὑρὼν οὖν τότε τὸν Ἰωάννην συνεργοῦντα τῷ τυράννῳ τοῦ ποιῆ- C σαι αὐτὸν Βασιλέα, καὶ ὁ τύραννος φροντίζων τὴν πραγματείαν ὡς ὑπὲρ ἐκείνου, ὁ Μανουὴλ εἴρηκε, τὸ σώζων σώζει, καὶ μὴ μελέτωσοι περὶ βασιλείας· Ἐλθὼν δὲ ἐν τοῖς παραλίοις τοῦ Πέλοπος, ἀφῆκε τὴν δέσποιναν σὺν τοῖς τέκνοις ἐκεῖ. εἶχε γὰρ τὸν Ἰωάννην βρέφος, καὶ τὸν Θεόδωρον νήπιον. καταλείψας δ' αὐτοὺς ἐν Μεθώνῃ, καὶ τὰς τριήρεις ὀπίσω πέμψας, αὐτὸς ἐν μιᾷ τῶν μεγάλων νηῶν εἰσελθὼν ἔπλει εἰς Βενετίαν, εἰς Μεδιόλανα, Γενούαν, Φλωρέντζιαν, Φεραρίαν, καὶ ἅπασαν Ἰταλίαν διελθὼν ἀπὸ Προβέντζας ἐχώρει εἰς Γερμανίαν, ἤτοι Φραγκίαν· καὶ πάντες οἱ Ῥηγάδες, καὶ Δοῦκαι, καὶ Κόντιδες ἐτίμων αὐτὸν, καὶ ὡς ἡμι- D θέον δώροις ἠμείβοντο. διελθὼν δὲ πᾶσαν Φραγκίαν, καὶ εἰς τὰ τῶν Ἀλαμανῶν ὅρια περάσας, πάλιν ἦλθεν εἰς Βενετίαν. οἱ δὲ Βένετοι πρεπόντως φιλοξενήσαντες, καὶ σὺν δώροις πλείστοις ἀποπέμψαντες, ἐστράφη εἰς Μεθώνην σὺν ταῖς αὐτῶν τριήρεσι· καὶ συντυχὼν τῇ δεσποίνῃ, καὶ τοῖς τέκνοις, ἐκάθητο καραδοκῶν τὰ τῆς πόλεως ἀτυχήματα· μᾶλλον τὰ τοῦ ἔθνους τῶν Ῥωμαίων δυστυχήματα.

A cedere: quoquo versum Deo visum fuerit abire, triremesque ad navigandum aptas, quæ in portu reperirentur, abducere. Jurato itaque Manueli fidens Johannes ingreditur urbem benigne ab eo exceptus, eamque cum palatio recepit. Manuel deinde coram cœtu nobilium, primorumque plebis oratione habita, triremem conscendit cum uxore & liberis, urbe cessit & imperio, Johannique summam rerum tradidit. Bajazitis equidem, scopus cum eo, quem sibi proponebat Manuel, fine haud congruebat. Animum induxerat ille posse se Johanni urbem eripere, quod & antea ab eo stipulatus fuerat, isque vicissim consenserat; additoque jurejurando Bajazites ei promiserat daturum esse pro urbe Pelopone- B sum, & pacem firmam inter eos in posterum intercessuram. Imperator equidem Christianissimus, inque divinis eximie eruditus, cum videret cunctos subditos inopia afflictos, (modius enim tritici pluris quam viginti nummis veniebat,) vini pariter, cæterorumque ciborum, quibus vita sustinetur, penuria pressos: plebem tot ærumnis confectam, ad prodendam insigni perfidia patriam vergere præsentiscebat, singulisque diei horis hæc verba ad Deum dirigebat: *absit a me Christe Rex, ut apud longinquas nationes fama exeat, quod Manuelis imperatoris temporibus urbs hostibus prodita sit, impiisque Christianorum adversariis tradita sancta ac pretiosa supellex.* Quare cum C vidisset Johannem tyranno operam suam locare, ut imperio potiretur: Turcumque totum negotium tractare, quasi rebus illius studeret, talia dixit: *urbis saluti consulendo te ipso salva, neque de imperio retinendo sis sollicitus.* Ad littora deinde Peloponesi delatus, imperatricem, & liberos quos ex ea susceperat Johannem recens natum, Theodorumque infantem Methonæ reliquit, triremibusque remissis navium magnarum unam conscendit, & Venetias appulit: lustravitque deinceps Mediolanum, Genuam, Florentiam, Ferrariam, totamque Italiam peragravit, & abi in (Narbonensem) Provinciam venit, hinc demum in Franciam, & Germaniam profectus est. Hunc D certe Reges omnes, Duces & Comites maximo honore habuerunt, & velut semideum donis cumularunt. Ubi ergo totam Galliam peragravit, in Germaniam abiit, indeque Venetias repetit: quem Veneti, ut decebat, amice & benevole tractarunt, eique multa dona largiti sunt, eorumque triremibus vectus Methonem reversus est od imperatricem & liberos, & cum eis, urbis malam fortunam, potiusque totius Græcorum gentis cladem expectans, tranquillam privatamque vitam agebat.

Manuelis imperatoris verba principe Christiano dignissima.

Manuel in Peloponesum abit & inde Italiam cæteraque occidentis regna petit. 1399.

Edit. Paris. pag. 30.

CAPUT XV.

Johannes precarium imperium obtinet a Bajazite, & Cadin seu judicem Musulmanum intra urbis mœnia accipit. Ad Bajazitem voluptatibus immersum veniunt a Temyre Chane legati, qui contumeliose a Bajazite habiti recedunt: ipse deinde in Armeniam movet. Constantinopolim a Johanne repetit, sed Constantinopolitani deditionem facere renuunt. Temyr Syriam invadit, urbes expugnat, in incolas immaniter sævit. Damascum, & Halepum diripit & vastat.

Johannes precarium imperium fiduciariumque a Bajazite obtinet.

A POstquam imperator Johannes urbem ingressus diadema imperatorium sumsit, ante omoia conditionem a Bajazite latam adimplens, judicem Turcum in urbe constituit, qui de litibus & controversiis inter Græcos & Turcos ortis cognosceret, & eas ex lege Arabica dirimeret. Omnia insuper oppida ad Selymbr. usque sita, ipsaque Selymbria in ditionem Bajazitis cesserunt, Johanne intra muros urbis tantummodo imperante. interea

Bajazites deliciis fruitur.

Bajazites Prusæ agere, & prosperæ fortunæ fructibus, quos ex illa tamquam ex arbore pendentes & inter avium cantus quotidie incrementum capientes suscipiebat, potiri: & luxui ac deliciis quotidie deditus variis libidinum generibus secure vacare. In thesauris quippe congestum habebat

B quicquid pulchri ac venusti cunctæ gentes mittere possunt, cum animalia corporis forma præstantia, tum metalla & alia, quæ oculis grata Deus in rerum natura

Bajazites pronus in omne genus libidinis.

produxit. Selecti adstabant pusiones & puellæ forma & corpore integri, florenteque ætate teneri, virgines etiam oris venustate ac præstantia solis splendori officientes. iique omnes Græci erant, Servii, Valachi, Albani, Hungari, Saxones, Bulgari & Latini, singulique lingua

Edit. Paris. pag. 31.

sua populari, etiam inviti, canebant. Ille itaque otio resolutus ac luxu diffluens, venereis voluptatibus, in mares ac fœminas promiscue insaniendo, indesinenter indulgebat. eaque peccatorum ac scelerum nostrorum præmia, divino numine

C in nos merito animadvertente, referebamus Sed tu domine secundum opera eorum retribue etiam illis, & peccata nostra post tergum projice neque tradas nos sicut cannabis calamum conterendos,

Legati Temyris Chani ad Bajazitem.

sed oculis propitiis nos intuere. Per id tempus Bajaziti voluptatibus indulgenti nuncius affertur, ex Persia legatos advenisse, qui eum convenire peterent. Cumque interrogasset a quo & undenam ad se mitterentur, dixerunt a Temyre Chan Persiæ & Babylonis Sultano missos; jussit itaque hospitium illis, ut se reficerent a via, præberi. Post paucos demum dies vocat ad se legatos, & ab eis, quæ in mandatis habebant, petit; accedentes

Legatorum oratio.

itaque ad eum, dixerunt. *Magnus Chan*

D *Temyr per nos servos suos tibi nunciat: non licere tibi aliena rapere, & hac ratione te præpotentem principem evadere. contentus esse illis, quæ Deo concedente infidelibus abstulisti. alias provincias, quas cæteris principibus more prædonis eripuisti, animo mutato statim restitue, ut Deum tibi propitium facias, aliorumque principum gratiam demerearis, laudemque ab iis consequaris. Sin minus hæc facere tibi libuerit, eorum Deo juvante, vindex ero.* Cum hæc, aliaque plura exposuissent, jussit Bajazi-

A Ὁ δὲ Βασιλεὺς Ἰωάννης εἰσελθὼν ἐν τῇ πόλει, καὶ στεφθεὶς Βασιλεὺς εἰσῆξε πρῶτον κατὰ τὸ αἴτημα τοῦ Παγιαζὴτ κριτὴν Τοῦρκον, ὃς τὰς ἀμφιβολίας τὰς ἀναμεταξὺ συμβαινούσας Ῥωμαίοις καὶ Τούρκοις αὐτὸς διέκρινε κατὰ τὸν Ἀραβικὸν νόμον· καὶ πάντα ὅσα εἶχον Ῥωμαῖοι μέχρι Σηλυμβρίας, καὶ αὐτὴ Σηλυμβρία τοῦ Παγιαζὴτ ἐγένοντο, καὶ ὁ Ἰωάννης ἦν βασιλεύων μόνον ἐντὸς τῆς πόλεως· Ὁ δὲ Παγιαζὴτ καθήμενος ἐν Προύσῃ, καὶ τὰ τῆς εὐτυχίας ὑψίκομα δένδρα ὁρῶν καρποῖς βρίθοντα, καὶ καθεκάστην ἡμέραν ἀδεῶς κατατρυφῶντα ἐν διαφόροις στρουθῶν κελαδίσμασιν. οὐδὲν ἔλλειπε τί τῶν ἐν τοῖς γένεσι τῶν γλωσσῶν ὡραῖον· εἴτε ἐν σώματι ζώου, ἢ μετάλλου, ἢ ἄλλης τινὸς ἐν τῷ

B κόσμῳ δοθείσης παρὰ τοῦ Θεοῦ ἀδείας ὄψεως, τὸ μὴ εἶναί τε καὶ εὑρίσκεσθαι ἐν τοῖς θησαυροῖς αὐτοῦ. Ἐκλεγόμενα τοίνυν τὰ καθαρὰ τῶν σωμάτων, καὶ τῶν ὡραίων τῇ ὄψει ἀρρένων τε καὶ θηλέων παρίσταντο, παιδάρια νέα, καὶ τρυφερὰ, καὶ κόραι ὑπὲρ τὸν ἥλιον λάμπουσαι· τίνων; Ῥωμαίων, Σέρβων, Βλάχων, Ἀλβανιτῶν, Οὔγγρων, Σάξων, Βουλγάρων, καὶ Λατίνων· ἕνα ἕκαστον μελῳδοῦντα τῇ ἰδίᾳ διαλέκτῳ καὶ μὴ βουλόμενον. Αὐτὸς δὲ καθήμενος, καὶ κατασπαταλῶν, οὐκ ἐπαύετο ἀφροδισιάζων, ἐν ἄρρεσι ἀσελγαίνων καὶ θήλεσι. Ταῦτα τῶν παρανομιῶν ἡμῶν τὰ ἐπίχειρα. δικαία ἡ τοῦ Θεοῦ παίδευσις· Ἀλλὰ σὺ Κύριε ἀπόδος καὶ αὐτοῖς κατὰ τὰ ἔργα αὐτῶν, πάριδε τὰς

C ἀνομίας ἡμῶν δέσποτα, καὶ μὴ ἐάσῃς συντριβῆναι ἡμᾶς ὡς καλάμην στυπίου. ἀλλὰ βλέψον εἰς ἡμᾶς ἱλέῳ ὄμματί σου. Κατασπαταλοῦντος οὖν μιᾷ τῶν ἡμερῶν ἰδοὺ μήνυμα, ὡς ἀποκρισιάριοι ἦλθοσαν ἀπὸ Περσίας ζητοῦντες ἰδεῖν τὸν ἡγεμόνα· Ἀπὸ τίνος ἀπεκρίνετο; οἱ δὲ παρὰ τοῦ Τεμὴρ Χὰν Σουλτάνου Περσίας, καὶ Βαβυλῶνος· Ὁ δὲ προσέταξε τοῦ δοῦναι αὐτοῖς τόπον εἰς ἀνάπαυσιν. μετὰ δέ τινας ἡμέρας προσκαλεσάμενος αὐτοὺς, ἐζήτει τὰ τῆς πρεσβείας ἀκοῦσαι. οἱ δὲ ἐλθόντες, καὶ παραστάντες ἐνώπιον αὐτοῦ, ἔφησαν· Ὁ μέγας Χὰν Τεμὴρ, δι' ἡμᾶς τοὺς δούλους αὐτοῦ μηνύει σοι λέγων, ὅτι οὐκ ἔξεστί σοι ἁρπάζειν τὰ ἀλλότρια, καὶ δι' αὐτῶν γενέσθαι σε μέ-

D γας ἀρχηγός. ἀρκοῦ εἰς ὅσα σοι ὁ Θεὸς δέδωκε παρὰ τῶν ἀπίστων λαβών. τὰς δὲ ἐπαρχίας ἃς παρὰ τῶν λοιπῶν ἡγεμόνων λῃστρικῶς ἥρπασας, παρευθὺ στρέψας δός· ἵνα καὶ παρὰ Θεοῦ εὖ σοι γένηται, καὶ παρὰ τῶν λοιπῶν ἡγεμόνων εὐχαριστίας καὶ ἐπαίνους ἕξεις. εἰ δὲ μὴ ἐγὼ ἔσομαι σὺν Θεῷ ἐκδικητὴς αὐτῶν· Ταῦτα, καὶ ἄλλα πλείω εἰπόντες, ὁ Παγιαζὴτ ἐκέλευσε ξυρίῳ καθάραι τοὺς πώγωνας, καὶ ἀποπέμψαι ἀτίμως, φήσας αὐτοῖς· ὑπάγετε,

γετε, ἀπαγγείλατε τῷ Κυρίῳ ὑμῶν, ἔρχεσθαι ταχύ· ἐκδέχομαι γὰρ αὐτόν, ἔσω κεχωρισμένος ἀπὸ τῆς αὐτοῦ νομίμου γαμετῆς εἰ μὴ ἔλθοι. Ταῦτα, καὶ ἕτερα ἀδολεσχήματα εἰπὼν πρὸς αὐτοὺς ἀτίμως ἀπέπεμψεν. Αὐτὸς δὲ μὴ ἀμελήσας, ἀλλὰ σὺν πάσῃ τῇ στρατιᾷ πρὸς τὰ ἀνώτερα μέρη τῆς Ἀρμενίας ἐστράτευσεν. ἤδη γὰρ τῷ προλαβόντι χρόνῳ λαβὼν τὴν τῆς Καππαδοκίας μεγάλην Σεβάστειαν. ἐν δὲ τῇ στρατείᾳ ταύτῃ διαβὰς τὰ ὅρια τῆς μεγάλης Ἀρμενίας, καὶ εἰς τὴν τῶν Τουρκοπερσῶν γῆν εἰσελθὼν, ἐκράτησε μίαν τῶν πόλεων λεγομένην Ἀρσυγγάν· ἐπαναζεύξας δὲ ἦλθεν ἐν Προύσῃ, ἀπάρας δὲ ἐκ τῆς Προύσης, καὶ διαβὰς τὸν πορθμὸν, ἦλθεν εἰς Ἀδριανούπολιν, καὶ τῷ βασιλεῖ Ἰωάννῃ μηνύει λέγων· Ὅτι ἐγὼ μὲν εἰ καὶ τὸν βασιλέα Μανουὴλ ἐξέωσα τῆς πόλεως, οὐ διὰ σὲ, ἀλλὰ δι' ἐμὲ τοῦτο πεποίηκα. εἰ μὲν βούλει τοῦ εἶναί σε ἡμέτερον φίλον, μετάστηθι ἐκεῖ, καὶ δώσω ἐπαρχίαν ἣν ἂν βούλῃ· εἰ δὲ μήγε, μάρτυς μοι Θεὸς, καὶ ὁ μέγας προφήτης, οὐ φείσομαί τινος, ἀλλὰ πάντας ἄρδην ὀλέσω. Ταῦτα καὶ ἕτερα ὁ Παγιαζὴτ ὀργίλα πέμψας μηνύματα, αὐτοὶ τῷ Θεῷ τὰς ἐλπίδας ἀνέθεντο. ἅπαν γὰρ προμεμελετηκότες ἐκ πολλῶν ὀλίγα πρὸς τροφήν· οἱ δὲ ἀπεκρίναντο λέγοντες. ὑπάγετε ἀπαγγείλατε τῷ Κυρίῳ ὑμῶν, ἡμεῖς ἐν ἀδυναμίᾳ ὄντες, καὶ δυναστείᾳ πολλῇ οὐκ ἔχομεν ποῦ καταφυγεῖν, εἰ μὴ εἰς Θεὸν τὸν βοηθοῦντα τοὺς ἀδυνάτους, καὶ καταδυναστεύοντα τοὺς δυνάστας, καὶ ἃ ἂν βούλει, ποίει. Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις ἦλθον μηνύματα φέροντες ἐξ Ἀμασείας, ὡς ὁ Τεμὴρ Χὰν στρατεύει κατὰ τῆς Συρίας. ὁ Παγιαζὴτ δὲ περάσας, καὶ ἐν τῇ Προύσῃ διάγων πέμψας ἁπανταχοῦ προσεκαλεῖτο τὰς δυνάμεις πάσας τῆς ἑῴας, καὶ τῆς δύσεως. Ὁ δὲ Τεμὴρ Χὰν διαβὰς τὴν Ἀρμενίαν ἐχειρώσατο πρῶτον τὸ Ἀρσυγγὰν πολέμου νόμῳ, καὶ πάντας τοὺς οἰκισθέντας παρὰ τοῦ Παγιαζὴτ ξίφει κατέσφαξεν. εἶτα ἐλθὼν εἰς Σεβάστειαν, καὶ μεγαλόπολιν οὖσαν, ἔπηξε χάρακα· καὶ ζητήσας τὴν πόλιν, καὶ μὴ ἐνδόντες οἱ ἐντὸς, κατορύξας γύρωθεν ἔστησεν αὐτὴν ἐπάνω τῶν δοκῶν καὶ τῶν σανίδων κάτωθεν ἐκ θεμέθλων, μὴ γνόντος τινὸς τῶν ἐντὸς τί ἄρα ἐγεγόνει τὰ κατ' αὐτῶν. ἦσαν γὰρ οἱ ὀρυκταὶ ἀρξάμενοι τὴν ὀρυγὴν ἀπὸ μακρόθεν τῆς πόλεως μίλιον ἓν καὶ πλέον. ἦν δὲ ἡ πόλις ἐκ πλίνθου ὠμῆς οἰκοδομηθεῖσα. τότε πάλιν ἐμήνυσε τοῖς ἔνδον λέγων, εἰ βούλεσθε τοῦ σώζεσθαι παράδοτε τὴν πόλιν· αὐτοὶ δὲ μὴ πεισθέντες, ἀλλὰ λοιδορίας ἐκχέαντες ἀμέτρως, πῦρ ἐνίασι τοῖς δοκοῖς οἷς ἐνίδρυτο ἡ πόλις, καὶ ἐκ τῶν θεμελίων κατέπεσε, καὶ εἰσελθόντες ἤρξαντο ἀφειδῶς κατακόπτειν, καὶ σκυλεύειν τοὺς πολίτας. Ὁ δὲ Τεμὴρ Χὰν ἐκέλευσε πάντας τοὺς προύχοντας τῆς πόλεως συναθροῖσαι εἰς ἕν, καὶ προστάξας λάκκους ὀρύγειν ὡς τάφους μεγέθεις, καὶ δεσμεῖν αὐτοὺς δεσμὸν, ὃν οὐκ ἐσοφίσατο τίς τῶν τυράννων· τὸν γὰρ αὐχένα ὑποκλίναντες, καὶ ἐν μέσῳ τῶν σκελῶν ὠθήσαντες, ἄχρις ἂν ἡ ῥὶν τοῦ δυστυχοῦς ἐκείνου, ὁποῖα ἄρα καὶ εἴη, κατάντης ἐν τῷ πρωκτῷ, μηδὲ κνῆμαι σὺν τοῖς γόνασιν ἐξ ἑκατέρων τῶν ὤτων ἀπῃωρημέναι. καὶ ὁ ἄνθρωπος ὥσπερ ἀκανθόχοιρος σφαιροειδὴς ἐν τῷ τάφῳ ἐκοντίζετο· καὶ δέκα, ἢ καὶ πλείονες ἐν ἑνὶ μνημείῳ ὄντες, οὐ συνεπλήθουν χώμασιν· ἀλ-

A tes barbas iis novacula abradi, contumeliisque affectos dimitti, responsumque tale dedit: *abite, renunciate Domino vestro, ut celeriter veniat, quodque eum venientem expecto. Si vero non accesserit, ab uxore legitima separetur*. Hisque per fastum ac jactantiam factis verbis contumeliose eos dimisit. Ipse vero rerum suarum haud negligens cum universis copiis in Armeniam superiorem contendit. cumque prius Sebastiam magnam in Cappadocia occupasset, hac expeditione Armeniæ majoris limites transcendit, inque Turcopersarum regionem penetravit, quamdamque urbem nomine Arsyngam in potestatem suam redegit; indeque relato pede Prusam reversus est. Illinc postea discedens fretum trajicit, & Adrianopolim venit. talia deinde imperatori Johanni denunciat: *Manuelem urbe non ejeci, ut ea potiaris, sed ut eam ditioni meæ adjungerem, quod si me amicum tibi habere volueris, abscede, aliam quamcumque provinciam elegeris, tibi concedam. quod si ita facere recusaveris, Deum testor ejusque magnum prophetam, quod nulli parcam, sed omnia penitus perdam*. Ejusmodi & alia minarum atque iræ plena mandaverat Bajazites; At cives Constantinopolitani, cum in Deum spem suam reposuissent, annonamque & cibos aliquos in urbem jamdiu importari providissent, responsum id dederunt: *abite nunciate Domino vestro nos imbecilles & viribus destitutos, nullum præter Deum perfugium habere, qui infirmis auxiliatur, & potentes deturbat, denique quod mediteris, aggredere*. Dum hæc geruntur, nuncii Amasia advenerunt, qui Temyrem Chan in Syriam tendere afferunt, quapropter Bajazites superato freto Prusam contendit, ibique commorans copias suas tam ab occidente, quam ab oriente ex omni parte evocatas collegit. Interea Armeniam pertransiit Themyr Chan, primumque Arsyngam expugnat, omnesque colonos, qui a Bajazite illuc deducti erant interficit. Sebastiam deinde urbem, quæ ampla erat, venit: ibique castra metatus illam deditione a civibus facta recipere quærebat: cumque ei non auscultarent, muros per ambitum ab imis fundamentis suffodit, sublicisque & trabibus fulcit. Neque, quibus artibus hostis aggrederetur urbem muris ex latere non cocto cinctam, cives noverant, quod fossores plusquam uno ab urbe miliari cuniculos agere cœpissent. eo opere peracto monet iterum, sollicitatque cives, ut se dedant, si se salvos velint. At illi spreto hoste, convicia in eum atrocesque contumelias torquent; protinus ergo igne immisso sublicis trabibusque, quibus suffossi muri sustentabantur, ab imo corruunt: hostesque urbem ingressi cives promiscue cædere, eorumque res compilare ac diripere cœperunt. Jussit præterea Temyr Chan præcipuos omnes urbis viros in unum locum cogi: lacus in modum amplorum sepulcrorum effodi, illosque vinciri modo tyrannis anteactorum temporum ignoto. Adducta enim inter femora cervix tantisper flectebatur, dum nares miseri ac infelicis illius, quisquis fuerit, podici immitterentur; suræque & genua ab utraque aure penderent. tum is in globum, tamquam Echinus, convolutus ac constrictus in sepulcrum conjiciebatur: & ubi in unam fossam decem vel plures abjecti sunt, terra non obruebantur; sed tabulis fossæ super-

Bajazitis responsum.

Sebastia anno 796. Hegiræ, 1394. Christi capta Hegiræ 798. Christi 1396. ex historia Musulmanica Leunclavius.

Constantinopolim a Johanne repetit Bajazites.

Edit. Paris. pag. 32.

Cives Constantinopolitani dedere se Bajazitis recusant.

Temyr Syriam invadit.

Arsyngæ per Temyrem expugnatio.

Sebastiam expugnat Temyr anno Hegiræ 802. Christi 1400. Leuncl. in Hist. Musul. lib. VIII.

Vide supplicia horrendum, & inhumanum.

ſtratis terra congerebatur, ne cito ac facile ſuffocati vitæ ſprivarentur. taleque tormentum Tyranni commentum fuit. Urbe poſtmodum illa everſa ac deleta in Phœniciam diſceſſit, & Damaſcum uſque pervenit, omnia igne vaſtat, diripit, ingentes divitias congerit, ac plurimos captivos abducit. Damaſco itaque devaſtata & in ſolitudinem redacta, Halepum profectus eſt, quam quoque evertit, multoſque artifices in Perſiam inde tranſtulit. Arabas demum veritus Samarchandum Perſiæ caput reverſus eſt. Cum Bajaziti nunciata eſſent, quæ ad Arſyngam & Sebaſtiam geſta erant, quamque cladem Syria, Damaſcus, & Halepum accepiſſent, celeritate ſumma atque diligentia in orientalibus partibus & Aſia militem recenſet, novumque & præter modum numeroſum conſcribit exercitum. Imperator ærumnoſique cives Conſtantinopolitani manibus ad Deum protenſis, lachrymiſque affatim fuſis interea ita ſupplicare: *Domine Deus miſerere noſtri quamvis inutilium ſervorum tuorum, iſtique, qui nobis, huic domui, & iis quæ in ea ſunt, exitium minatur, aliam ſollicitudinem & curam, aliudque propoſitum ſuggere, ut illius tyrannide abſoluti te Patrem & Filium ſanctumque Spiritum Deum, unum per ſæcula celebremus, ac collaudemus, amen.*

Edit. Pariſ. pag. 33.

Damaſcus Halepum & reliquæ Syriæ partes a Temyre occupantur. Anno 802. Hegiræ. Chriſti 1400.

A λὰ σανίσιν ἀσφαλίσαντες, ἐπάνω τῆς σανίδος ἐχωμάτιζον, ἵνα μὴ εὐκόλως πνιγέντες ἀποβάλλωνται τὴν ζωήν. Τοιαύτην ὁ Σκύθης ἐπενοήσατο βάσανον· ἐπειδὴ οὖν αὐτὴν εἰς τέλος ἠφάνισεν, ἔρχεται εἰς τὰ τῆς Φοινίκης μέρη, καὶ ἕως αὐτῆς Δαμασκοῦ, καὶ ἐμπιπρᾷ καὶ λεηλατεῖ καὶ λαμβάνει πλοῦτον ἀναρίθμητον, καὶ αἰχμαλωσίαν πολλήν. καὶ τὴν Δαμασκὸν ἐρημώσας, ἐπὶ τὸ Χαλὲπ καταβαίνει, καὶ αὐτὸ ἠφάνισε, καὶ πολλοὺς τῶν τεχνῶν ἐπισήμους εἰς Περσίαν μετῴκισε, καὶ τοὺς Ἄραβας φοβήσας, ἐπανήζευξεν εἰς Σαμαρχὰν μητρόπολιν Περσίας. Ὁ δὲ Παγιαζὴτ ἀκούων τὰ γενόμενα ἐν τῷ Ἀρσιγγᾶν, ἐν Σεβαστείᾳ τῇ πόλει, ἐν Συρίᾳ, καὶ ἐν τῇ Δαμασκῷ, καὶ τῷ Χαλὲπ, οὐκ ἐπαύετο ποιῶν ἀπογραφὰς ἐν τῇ
B δύσει, καὶ ἐν τῇ Ἀσίᾳ ἀθροίζων νέον στρατὸν, καὶ ὑπὲρ πλείστου τοῦτον πληθύνων. Οἱ δὲ πτωχοὶ πολῖται σὺν τῷ Βασιλεῖ, χεῖρας πρὸς Θεὸν αἴροντες σὺν δάκρυσι πλείστοις ἱκέτευον λέγοντες· Θεὲ καὶ Κύριε τοῦ ἐλέους ἐλέησον ἡμᾶς τοὺς ἀχρείους δούλους σου· καὶ δὸς τὸν ἐπαπειλοῦντα ἡμᾶς, καὶ τὸν σὸν οἶκον τοῦτον, καὶ τὰ ἐν αὐτῷ ἅγια ἄλλην μέριμναν, ἄλλην φροντίδα, ἄλλον λογισμόν. ἵνα ἐλευθερωθέντες τῆς αὐτοῦ τυραννίδος, δοξάσωμέν σε τὸν Πατέρα, καὶ υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, τὸν ἕνα Θεὸν εἰς τοὺς αἰῶνας, ἀμήν.

CAPUT XVI.

Temyr verſus Tanaim movet. Bajazites exercitum conſcribit, & Temyri ad Ancyram caſtra habenti occurrit. Cometa fulget. Pugna initur a Temyrianis cum Bajazitis copiis: Bajazites deſeritur a magna copiarum ſuarum parte. vincitur. captus ad Temyrem, qui Zatrichio ſeu Scacchis ludebat, adducitur. Temyr Bajazitem conſolatur & humane erga eum ſe gerit, arcte nihilominus cuſtodit. Per totam minorem Aſiam copiæ Temyris ſe diffundunt. Mehemetes patrem aſtu, ſed fruſtra, liberare aggreditur. Chociapheiutzes Eunuchorum princeps cum Bajazite domino ſuo captus, juſſu Temyris capite plectitur.

Temyr Chan verſus Tanaim proficiſcitur.

TEmyr Chan ineunte vere ea Perſia verſus Tanaim movet, collectoque Tauroſcytharum, Zyncborum & Abaſgorum ingenti numero, everſiſque oppidis, quæ Boſporo (*Cimmerio*) adjacent, in Armeniam dein & Cappadociam acceſſit: adjunxitque copiis ſuis Armeniorum agmen numeroſum; indeque in Galatiam venit exercitum ducens ei, quem Xerxes olim conſcripſit, multitudine parem. Bajazites vero cum univerſis copiis Thraciis, & orientalibus ſimul collectis, novoque conſcripto milite & auxiliaribus Serviorum haſtatorum cohortibus, quas ducebat Lazari filius Stephanus, in occurſum Temyris proceſſit. Cumque ad Galatiæ limites perveniſſet, certior factus eſt Temyrem ad Ancyram caſtra habere. Exercitum itaque prope admovet, caſtraque in medio campo Ancyræ vicino collocat, fluvium illic vicinum labentem habuit, aquationemque facilem
D & commodam univerſo exercitui & equis: cum Temyr loca arida & aquis carentia teneret. Verum quid accidit? jubet Bajazites in mediis caſtris edictum promulgari, ut poſtridie omnes ad venationem exirent. Cum univerſo itaque exercitu per triduum venationi cervorum operam dedit; quo temporis ſpatio, quem

Bajazites copias contrahit; &

Temyri ad Ancyram caſtra habenti occurrit.

pag. 34.

Bajazites ſuperbia & imprudentia ſumma imminentibus venatum abit.

ΕΑΡΟΣ δ' ἀρξαμένου, ἰδοὺ, καὶ ὁ Τεμὴρ Χὰν ἐκ Περσίας πρὸς τὰ τῆς Ταναΐδος μέρη ἐλθὼν, καὶ τοὺς Ταυροσκύθας, καὶ Ζυαχοὺς, καὶ Ἀβασγοὺς ἀθροίσας, καὶ τὰ ἐν τῷ Βοσπόρῳ πολίχνια κατασκάψας. διέβη πρὸς τὰ τῆς Ἀρμενίας μέρη. καὶ τὴν Καππαδοκίαν διελθὼν σὺν πολλῇ στρατιᾷ καὶ ἐκ τῶν Ἀρμενίων οὐκ ὀλίγους παραλαβὼν πρὸς τὰ τῶν Γαλατῶν μέρη ἀφίκετο, στρατὸν ἔχων ὡς ὁ ποτὲ Ξέρξης πολυαρίθμητον. Ὁ δὲ Παγιαζὴτ καὶ αὐτὸς πᾶσαν στρατιὰν συνάξας Θρακικήν τε, καὶ ἀνατολικὴν, καὶ νεόλεκτον ἄλλον στρατὸν, καὶ τὸν Σέρβον ἔχων ὁμοῦ Στέφανον τὸν τοῦ Λαζάρου υἱὸν σὺν δορυφόροις πλείστοις, ἐξῆλθε καὶ αὐτὸς συναντῆσαι τῷ Τεμήρ. ὡς δὲ καὶ αὐτὸς προσήγγισε τοῖς μέρεσι Γαλατίας ἔμαθεν ὅτι Τεμὴρ ἐν Ἀγκύρᾳ τῇ πόλει πληκεύων ἦν. ἐγγίσας δὲ ἀφάσιος πλησίον, καὶ τὰς σκηνὰς πήξας ἐν μέσῳ τοῦ κάμπου πλησίον Ἀγκύρας,
D εἶχε καὶ τὸν ποταμὸν ἀφθονοῦντα, καὶ τὸ πότιμον ὕδωρ πρὸς τὴν χρείαν τοῦ στρατοῦ, καὶ τῶν ἵππων, καὶ πάσης τῆς παρατάξεως. Ὁ δὲ Τεμὴρ ἦν οἰκῶν ἐν ἀνύδρῳ γῇ. πλὴν τί γίνεται; κελεύει ὁ Παγιαζὴτ ἐκλαλιὰν γενέσθαι ἐν μέσῳ τοῦ φοσσάτου, τῇ ἐπιούσῃ ἐξελθεῖν ἅπαντας ἐν κυνηγεσίῳ. ἐξῆλθεν οὖν σὺν παντὶ τῷ στρατεύματι τρεῖς ἡμέρας κυνηγετῶν, καὶ ἐλάφους διώκων. Ὁ δὲ Τεμὴρ ἀνα-

τὰς ἀπὸ τοῦ τόπου οὗ ἦν, ἦλθε, καὶ ἐσκήνωσεν ἐν ταῖς ὄχθαις τοῦ ποταμοῦ, ὅπου ἐκάθητο πρώην ὁ Παγιαζήτ. ὕδατος τοίνυν σπανίζοντος, ἐπεὶ καὶ ὁ ἥλιος ἐν τῷ λέοντι τὴν πορείαν ἐποίει, ὁ Τεμὴρ οὐκ ἐφρόντιζε πλέον περὶ ὑδροποσίας· ἀλλ' ὁ Παγιαζὴτ ἀλαζονευόμενος, καὶ ὑπεροπτικῶς δεικνύων τὴν συμπλοκὴν τοῦ Τεμὴρ, ὡς ἐκ δευτέρου λόγου προσέχων αὐτήν, ἐνήργησε τὰ κυνηγέσια, καὶ ἡ πρώτη τῆς αὐτοῦ δυστυχίας ἐμβολὴ ὑπῆρχεν αὕτη· ἐξελθὼν γὰρ, καὶ τοῦ ἡλίου ὄντος ἐν μεσουρανίσματι, οἱ στρατιῶται ὑπὸ τοῦ καύσωνος ἀπελέγοντο τῇ ζωῇ· καὶ ἐζήτουν ὕδωρ, καὶ οὐκ ἦν, καὶ λειποψυχοῦντο, καὶ ἀπέθνησκον. ἀπέθανον οὖν ἐν τῇ κακοπαθείᾳ αὐτῇ ἄνδρες πεντακισχίλιοι· μετὰ δὲ τρεῖς ἡμέρας στραφεὶς ἐν ᾧ τόπῳ ἦν, εὗρε τὸν Τεμὴρ ἐκεῖ κατασκηνώσαντα, καὶ τὸ ὕδωρ οὐκ ὑπ' ἐξουσίαν αὐτοῦ ἦν, ἀλλ' ἡ θέσις τοῦ τόπου ἀπεμάκρυνε τοῦτο, καὶ οὐκ εἶχεν εὐκόλως. ἐξ ἀνάγκης οὖν ἔγνωσαν ὅτι τῇ ἐπιούσῃ ἐξ ἀνάγκης μέλλουσι συνάψαι πόλεμον· Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις, ὁπόταν τὴν ἐαρινὴν ὥραν ὁ ἥλιος ἐποίει, διιὼν τοὺς διδύμους, περὶ τὰ ἑσπέρια μέρη σημεῖον ἐφάνη ἐξ οὐρανοῦ, καὶ προάγγελος κακῶν. τὸ δὲ ἦν Κομήτης περιφανὴς, ὄρθιον ἔχων τὴν κόμην, καὶ ὡς πῦρ φλογερὸν, ὑπὲρ πήχεις τέσσαρας ἀπὸ δύσεως ἐν ἕῳ ὡς δόρυ κινῶν τὴν ἀκτῖνα. ὁπόταν δ' ἂν ὁ ἥλιος ὑπὸ τὸν ὁρίζοντα δύνας ἦν τότε καὶ αὐτὸς ἐξέπλου τὴν ἰδίαν ἀκτῖνα, καὶ κατηύγαζε πάντα τὰ γῆς πέρατα, καὶ οὐκ ἐδίδου τοῖς λοιποῖς ἄστρασιν ἐξαυγάζειν οὐδὲ τὸν ἀέρα μελανίζειν. ἀλλὰ μᾶλλον ὑπερεκτείνετο καὶ ἐν τῷ μεσουρανίσματι, ὑπερεκτέχυτο ἡ φλὸξ, ἕως ὑπὲρ τὸν ὁρίζοντα περιωρίζετο. τοῦτο τὸ σημεῖον ἑωράκασιν Ἰνδοὶ, Χαλδαῖοι, Αἰγύπτιοι, Φρύγες, Πέρσαι, καὶ οἱ τὴν μικρὰν Ἀσίαν οἰκοῦντες, Θρᾶκές τε, καὶ Οὖννοι, Δαλμάται, καὶ Ἰταλοὶ, καὶ Ἱσπανοὶ, καὶ Γερμανοὶ, καὶ ἄλλο εἴ τι ἔθνος ἦν οἰκοῦν ἐν τοῖς τοῦ ὠκεανοῦ ῥεύμασιν ἔστη οὖν τὸ τοιοῦτον φρικωδέστατον τέρας ἁπανταχοῦ φαῖνον, καὶ λάμπον, ὃ καὶ λαμπαδίας καλεῖται, ἄχρι τῆς φθινοπωρινῆς ἰσημερίας, τοῦ ἡλίου ἐν τῷ ζυγῷ τὴν πορείαν ἀρξαμένου ποιεῖσθαι. Ἀλλ' ἐπανέλθωμεν αὖθις, καὶ ἴδωμεν τὰ τοῦ Θεοῦ ξένα τεράστια, πῶς τὸν Φαραὼ κατεπόντισε δι' ἑτέρου Φαραὼ, καὶ πῶς ὁ τοῦ Κυρίου λαὸς εὗρεν ἀνακωχὴν τῶν πολλῶν πόνων αὐτοῦ· ἀλλ' οὐκ εἶδεν, οὐδὲ συνῆκε. Ὁ Σκύθης οὖν διαλαλίας ἀφ' ἑσπέρας ποιήσας ἐν παντὶ τῷ στρατοπέδῳ, ὥστε πρωῒ εὑρεθῆναι τοὺς πάντας ἐποχουμένους, καὶ περιπεφραγμένους τοῖς ὅπλοις, ἀναστὰς ἤδη ὄρθρου βαθέως παρετάξατο πάντας τοὺς ταγματάρχας, καὶ χιλιάρχους, καὶ ἐν μὲν τῷ δεξιῷ κέρατι ἔστησεν ἀρχηγὸν τὸν πρῶτον τῶν υἱῶν αὐτοῦ, ἐν δὲ τῷ ἀριστερῷ τὸν ἔγγονον αὐτοῦ, ἦν γὰρ ὑπὲρ τὰ ξ. ἔτη ὁ Τεμήρ. ἐν δὲ τῇ οὐραγίᾳ αὐτὸς ἐτέτακτο· τότε προσέπαιξεν αὐτοῖς λέγων· Ὦ ἐμὸν ἄθροισμα, καὶ στρατὸς ἀκαταμάχητος, φύσις ἀδαμάντινος, καὶ στερρὸν τεῖχος, καὶ γενεὰ δυσανάλωτος, ἀκούσατε τὰς ἐξ ἀρχῆς γεγονυίας παρὰ τῶν πατέρων ἡμῶν ἀριστείας, οὐκ ἐν τῇ ἕῳ, καὶ γὰρ αὕτη ὑμετέρα πατρίς ἐστιν, ἀλλ' ἐν Εὐρώπῃ, καὶ ἐν Λιβύῃ, καὶ ἁπλῶς εἰπεῖν ἐν πάσῃ τῇ γῇ. οἴδατε ἀκριβῶς τὴν Ξέρξου, καὶ Ἀρταξέρξου καθ' Ἑλλήνων ἐπανάστασιν, Ἑλλήνων λέγω τῶν ἡμιθέων ἡρώων ἀνδρῶν, οὗτοι γὰρ οἱ μιξοβάρβαροι Τοῦρκοι ὡς ἀκρὶς πρὸς λέοντας ἐγγὺς ἐκείνων εἰκάζονται· οὐ γὰρ θαρρύνων ὑμᾶς ἀναμιμνήσκω ταῦτα, καὶ γὰρ ἤδη ἐν χερσὶν ἡμετέραις τὸ θήραμα. ἀλλὰ μὴ ἀποδρασάτω τὸ μορμολύκιον τοῦτο ἐκ

A tenebat locum, deserit Temyr & castra movet, inque fluminis locat ripa, in qua Bajazites pridie consederat. Aquæ tunc penuria erat, quod anni tempus ageretur, quo signum Leonis Sol permeat, nec tamen de aquatione Temyr amplius fuit sollicitus. Verum Bajazites vane superbiens, venatione tempus terendo demonstrabat contemnere se, & aliis rebus posthabere pugnam, si cum Temyre ineunda esset: unde infortunium, ac clades ejus initium habuerunt. Nam ipso meridie egressus, æstu fervente milites intercipiebantur, & aquam frustra quærentes deficiebant, & extinguebantur. atque penuria aquæ quinque millia militum perierunt. Post triduum ad castra, quæ tenuerat, reversus Bajazites depre- B hendit Temyrem ea præoccupavisse, nec aquandi facultatem amplius se habere: hinc prævisum omnibus postridie pugnandi sibi impositam necessitatem. Eo anno vere jam affecto, dum sol Geminorum dodecatemorion emetiebatur, in occidentali plaga signum in cælo malorum nuncium apparuit. Cometes is erat lucidus & clarus, comam erectam explicans ignis flammantis specie; supraque quatuor cubitos, non secus ac hastam, ab occasu in ortum radios jaculabatur: & sole infra horizontem demerso propriis radiis effusis omnes orbis terræ terminos collustrabat, nec aliis stellis lumen emergere concedebat, aut aerem noctis umbra infuscari: quod ejus lumen aliorum C splendorem vinceret, & ad cæli verticem flammans protenderetur, quamdiu supra horizontem extabat. Hoc portentum conspexerunt Indi, Chaldæi, Ægyptii, Phryges, Persæ, Asiæ minoris incolæ, Thraces, Hunni, Dalmatæ, Itali, Hispani, & Germani, & si quæ aliæ gentes Oceani littora accolunt: rutilansque ac splendens hoc maxime horrendum portentum, qui Lampadias vocatur, usque ad æquinoctium autumnale perduravit, cum Sol Libræ signum permeare incœpit. Verum ad rem rursus redeamus, consideremusque, quomodo Deus novo mirabilique prodigio Pharaonem unum in profundum mare per alterum demerserit, qui etiam Dei populus a malis & D ærumnis vacationem cessationemque obtinuerit; at quam non vidit nec intellexit. Scytha igitur vespere per castra ubique edixit, ut omnes sequenti luce equis insidentes & armati adsint. Ipse deinde summo mane lecto excitatus, cohortium præfectos & Chiliarchas in aciem ordinavit. dextroque cornu filium natu majorem præfecit; sinistro, quem ex eo habebat, nepotem. annos etenim sexaginta Temyr jam excesserat: ipse vero aciem postremam duxit, his deinde verbis suos adhortatus est. *O multitudo mea, invicte exercitus, naturæ adamantinæ muro ahenee, generatio insuperabilis, audistis, quæ a principio majores nostri præclare gesserunt, non inter orientales gentes, Oriens quippe patria nostra est, sed in Europa & Africa, &, ut* E *verbo dicam, per universum orbem terrarum. Accurate novistis adversus Græcos expeditionem a Xerxe & Artaxerxe susceptam, Græcos, inquam, semideos & heroas, cum quibus profecto hi Turci semibarbari hybridæ comparari nequeunt, nisi quomodo confertur cum leone locusta; Neque ut in vobis audaciam excitem talia in memoriam vestri omnium revoco, jam etenim præda manibus nostris elabi non potest; Verum ne locus effu-*

Vide Tyranni superbiam.

Æstu enecti Bajazitis milites.

Cometa

Temyr ad pugnam se parat.

Edit. Paris. pag. 35.

Milites hortatur.

giendi detur huic territiculamento: utque etiam vivum integrumque capiatur, hincque in Persidem abducamus spectaculum futurum liberis nostris: erudiamusque ut in posterum nos per conjuges nostras non adjuret. Vos itaque jubeo hunc latum campum in ambitu circumdare; dextrumque cornu & sinistrum pariter in falcem curvata acie procedere. totum itaque campum circumvallate, ut hostis in medio, velut punctum polare, reperiatur. Ambo inde cornua dextrum sinistrumque, cum adhuc mane esset, campum circulo facto claudere cœperunt. Bajazites etiam oriente Sole legiones suas disposuit, aciemque instruxit, classicum cani jussit, Scytharum deinde impressionem expectans stabat. Scythæ sine strepitu & clamoribus ducis sui jussa capessunt, tacentesque, velut impigræ formicæ, operi incumbunt. Quare Bajazites verba plurima effutire cœpit, contumeliisque exagitare præcipuos hostilis exercitus viros, Gisbuzidasque deprimere, probrisque proscindere, quod in pugna haud strenue se gererent. At unus inter primarios, qui sub vexillis Atinis stipendia meruerat, cum audiisset dominum suum Atinem cum fratre in acie Temytis adesse, effusis habenis vexilloque rapto cum quingentis armatis equitibus ad Scythas transfugit; quos secuti sunt Sarchanis subditi, Mantachiæ & Carmiani a principibus suis clamore ac gestu accersiti. Ad hostes igitur omnes transeunt, &, tamquam fabulæ graculus, Bajazites sensim spoliatur. Scytharum interim multitudo in orbem disponi, circulumque statim concludere. Quod cum animadvertisset Stephanus Lazari filius Bajazitis sororius, quique in hoc prælio quinque millia hastatorum Serviorum ducebat, vinci se non ferens, martiali animo in Scythas hastis in eorum ora versis impressionem facit. cujus audaciam fureotemque impetum videntes, minime sustinuerunt: sed ex utroque latere cedentes exitum ei patefecerunt Scythæ, qui telis ac sagittis in equorum posteriora missis, cum ferreis loricis armatos vectores nequirent, equos vulnerarunt. At Servii flexis equis in hostes iterum invecti, viam denuo sibi, Scythis cedentibus, & ab utraque parte multis cadentibus, aperuerunt. Accessit deinde Stephanus ad Bajazitem, multumque sermonem in aurem ei fecit, sed persuadere nequit, ut fugam arripiat. Illum equidem jam concluserant canes multi, tauri pingues ambiebant. Attendens ergo Stephanus ad ea quæ gerebantur, exitumque prælii instantem prævidens, copias suas, & primogenitum Bajazitis filium Musulmanam abduxit, mediosque rursus hostes valida impressione perrumpit ac disturbat: tandemque manu sua multis hostibus cæsis, suorum plurimis amissis ipse circumstantes vix effugit, quod Scytharum ordines, a primo circulo ad interiorem & confertiorem, densati admodum essent. Stephanus itaque fugæ se mandat, & Prusam versus viam direxit. At Scythæ Turcos omnes aufugientes nemini parcendo occiderunt, donec Bajazites in tumulum quendam, qui in medio campo erat, per angustias ascendisset, in quo collocatos habebat decem millia servorum pecunia emptorum, quos Genitzaridas vocant, cum cæteri in fugam versi dilaberentur. Quapropter Scythæ Turcorum tergo instantes, ut Bajazitem veluti lucium subsilientem ac pal-

Prælium Turcarum, & Scytharum.

Atinis subditi & Sarchanis ad Temytem transfugiunt.

Atqui in eas gentes irrumpunt non solum finitimi, qui nempe Thraciam, Atticam, Illyricum, Æmum montem incolunt, quique juxta Serviam accolunt. (Sane, ut mihi videtur, frequentior his temporibus est populus, illum dico, qui Imperatoribus Ochmani stirpe oriundis paret, a freto Callipoleos ad Danubium usque quam in partibus Anatoliæ.) Sed etiam Turci qui Asiam & Phrygiam habitant. Quid inquam? Lycaones qui Armeniæ finitimi sunt, Amasini, Cappadoces, Cilices, Lycii & Cares Danubium usque pedes proficiscuntur, ut latrociniis Christianos devastent. Si centum namque millia ipsorum provinciam quamlibet invadant, latronum more nihilominus grassantur direptisque omnibus aufugiunt. His incursionibus in Thracia universa ad Dalmatiæ limites solitudinem fecerunt. Albanos gentem hominibus frequentissimam ad paucos redegerunt. Walachos pariter ac Servios, tandemque Romæos penitus deleverunt.

Quinta prædæ pars imperatori cedit, etiamque mancipiorum novella constitutione lata anno Hegiræ 763 Christi 1362.

His in servitutem hoc modo redactis quintam prædæ partem ac spoliorum Imperatori addicunt, juxta eorum novellam constitutionem; eamque ex præstantioribus selectam imperio consecrant. Si quando vero juvenis aliquis robustus inter captivos comparuerit, hunc vili pretio

A πίσω ἐλθεῖν, ἐλθέτω. ἦν γὰρ τὸ ἔθνος τῶν Τούρκων, ὡς οὐκ ἄλλο, φιλάρπαγον, καὶ φιλάδικον, πρὸς ἄλληλα γὰρ ἦν· εἰ δὲ κατὰ Χριστιανῶν, τί χρὴ καὶ λέγειν; καὶ εἰ μόνον τὴν τοῦ κήρυκος φωνὴν ἀκούσωσι, ὡς πρὸς ἐπιδρομήν, ὃ καλεῖται κατὰ τὴν αὐτῶν γλῶτταν Ακκήν, τό τε πάντες χύδην, καὶ ὡς ποταμὸς ῥέων, αὐτόκλητοι ἄνευ βαλαντίου καὶ πήρας οἱ πλεῖστοι, καὶ αἰχμῶν, καὶ ἀκινάκων· ἕτεροι πεζοὶ τὴν πορείαν, μυριαρίθμους παρεμβολὰς στοιχήσαντες, θέουσιν, οὐκ ἄλλο οἱ πλείονες, ἀλλ' οἱ ῥόπαλον ταῖς ἑκάστου χερσί, καὶ κατὰ τῶν Χριστιανῶν ὁρμῶντες, ὡς πρόβατα τούτους ἐζώγρουν· ἀρρήτοις Θεοῦ κρίμασι τοῦτο καθ' ἡμῶν τὸ ψήφισμα δεδωκότος, ἕνεκα πλήθους ἁμαρτιῶν τοῦ ἡμετέρου γέ-
B νους. καὶ ἡ ἐπιδρομὴ ἡ συνεχὴς κρατοῦσα ἄχρι τοῦ νῦν· οὐ μόνον τὰ ἀνατολικὰ θέματα, ἀλλὰ καὶ τὰ τῆς Θρᾴκης κρατήσαντες, ἀπὸ Χερρονήσου μέχρι τοῦ Ἴστρου πάσας τὰς ἐπαρχίας καθυποτάξαντες. τὸ καθ' ἑκάστην μὴ ἀμελοῦντες, ἀλλὰ σήμερον πρὸς εἰρήνην μετασχηματιζόμενοι τοῖς Σέρβοις, αὔριον τὰ τῆς Αττικῆς καὶ Λακεδαιμονίας, Αχαΐας καὶ Ἑλλάδος ἐληΐζοντο. μετὰ τὴν αὔριον δὲ τὰ τῶν Ῥωμαίων, ὡς ἐδόκει, τὴν εἰρήνην ἐπισπώντων, θρῆνος, καὶ αὖ τοῖς Σέρβοις ἐπιρρέουσα· εἶτα Βουλγάροις, μετέπειτα Αλβανίταις· καὶ καθεξῆς λυμαίνοντες ἅπαν ἄγριόν τε καὶ ἥμερον ἔθνος οἱ βάρβαροι, οὐκ ἐπαύοντο, καὶ οὐ παύονται ἄχρι
C τῆς σήμερον, ὡς ἐμοὶ δοκεῖ, καὶ οὐ παύσονται, ἄχρις ἂν ἡμεῖς τὸν τοῦ Θεοῦ φόβον ἐν τῷ λάβωμεν. καὶ γὰρ εἰς τὸ θεῖον ἡμεῖς ἀσεβοῦντες, βάπτισμα ἔχοντες εἰς ὄνομα Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος, τῆς μιᾶς θεότητος, καὶ τοῦτο καταφρονοῦντες, ἀθετοῦμεν τὰς ἐντολὰς τοῦ μόνου ἀληθινοῦ Θεοῦ· τοῖς ἀσεβέσι παρεδόθημεν, καὶ δικαίως ὑπ' αὐτῶν κολαζόμεθα· τοῦ Θεοῦ τοῦτο καλῶς καὶ δικαίως ὁρίσαντος. Καὶ οὐ μόνον τὰ πρὸ τοῦ Ἴστρου μυριάριθμα ἔθνη, καὶ πάμπολλα· ἀλλὰ καὶ μετὰ Ἴστρον Βλάχους εἰς τέλος ταπεινώσαντες· Οὔννους αὐτοὺς τὴν ἀμέτρητον πληθὺν δι' ἀμέτρου κατεργάσαντες· Καὶ οὐ μόνον οἱ
D γειτνιῶντες Τοῦρκοι κατατρέχουσιν, οἱ τῆς Θρᾴκης, οἱ τῆς Αττικῆς, οἱ τοῦ Ἰλλυρικοῦ, οἱ τοῦ Αιμιμόντου, καὶ οἱ γειτνιῶντες Σερβίαν. (καὶ γὰρ, ὅσον τὸ κατ' ἐμὲ, πολὺ πλέον τυγχάνει τὸ γένος τοῦτο τῆς σήμερον, ἀπὸ πορθμοῦ Καλλιουπόλεως ἄχρι τοῦ Ἴστρου, παρ' ὅσον ἐν τοῖς τῆς ἀνατολῆς μέρεσι τὸ κατοικοῦν· λέγω τὸ ὑπήκοον τοῦ ἀρχηγοῦ τοῦ ἐκ τῶν Ὀθμάν·) ἀλλὰ καὶ οἱ ἐκ τῆς Ασιάτιδος γῆς, καὶ οἱ τὴν Φρυγίαν οἰκοῦντες· καὶ τί λέγω; Λυκαόνες οἱ ἐν τοῖς Αρμενίων ὁρίοις ἀγχίμοροι, Αμασηνοὶ, Καππαδόκαι, Κίλικες, Λύκιοι, Κάρες ἄχρι Δανουβίου πεζοὶ πορείαν ποιοῦντες, ἕνεκα τοῦ κλέψαι Χριστιανόν· Καὶ γὰρ εἰ καὶ μυ-
E ριάκις μύριοι ἐπέλθωσι τῇ τυχούσῃ τῶν ἐπαρχιῶν, ἀλλὰ λῃστρικῶς ἐπεμβαίνουσι, καὶ ἁρπάζοντες φεύγουσι. τοῦτο τὴν Θρᾴκην πᾶσαν ἄχρι Δαλματίας ἔρημον ἀπειργάσατο· τοῦτο τοὺς Αλβανοὺς, γένος ὑπὲρ ἀριθμὸν ὂν, δι' ἀριθμήτους ἐποίησεν. Βλάχους ὁμοίως, Σέρβους, καὶ Ῥωμαίους εἰς τέλος ἠφάνισε. τούτων οὕτως αἰχμαλωτιζομένων, τὸ πέμπτον τῶν λαφύρων τῷ ἀρχηγῷ προσκυροῦσι, κατὰ τὴν αὐτῶν νεαράν. καὶ ἀφοσιοῦσι τοῦτο τὸ πέμπτον τῇ ἀρχῇ· καὶ ταῦτα τὰ κρείττονα· εἶτα καὶ οἱ τοῦ ἀρχηγοῦ, καὶ τῆς ἀρχῆς ἐξισοῦνται· ὅταν δ' ἂν νέον καὶ εὔρωστον ἐκ τῶν αἰχμαλώτων ἴδωσι, τοῦτον δὲ

Digitized by Google

A ἐλαχίστου τιμήματος ὠνήσαντες, εἰσποιοῦντο τῇ ἀρχῇ καὶ δοῦλον κατονομάζουσι. καὶ τούτους ὁ ἀρχηγὸς νεόλεκτον στρατὸν, κατὰ δὲ τὴν αὐτῶν γλῶτταν Γενίτζαρι, καλεῖ. οὓς καὶ εἰς τὴν αὐτοῦ δυσσέβειαν μετάγων καὶ περιτέμνων, οἰκείους αὐτοῦ κατονομάζει· δοὺς αὐτοῖς πάμπολλα δῶρα, καὶ ὀφφικίων τὰ λαμπρότατα, προνοίας οὐ τῆς τυχούσης, καὶ παντοίων ἄλλων ἀγαθῶν· ὁμοτραπέζους καὶ συμπότας ποιῶν αὐτούς· ἔχων εἰς αὐτοὺς στοργὴν ὡς πατὴρ πρὸς τέκνα· καὶ ταῦτα τίνας; αἰπόλους καὶ ποιμένας, βουκόλους τε καὶ χοιροβοσκούς, γεωργῶν παῖδας καὶ ἱπποφόρβων· πρὸς γὰρ τὴν τοιαύτην διάθεσιν ἀφειδοῦσι ὑπὲρ τοῦ ἀρχηγοῦ τὴν ζωὴν αὐτῶν εἰς οὐδὲν λογίζοντες· μᾶλλον ὑπὲρ τῆς δόξης ἧς ἔτυχον ἀπολαβόντες, ἵνα μὴ ἐκπέσωσι ταύτης, πάσχουσιν ἐν και- B ρῷ πολέμου ὑπὲρ ἄνδρας, καὶ τὴν νικῶσαν λαμβάνουσι· τὸ γνωριστικὸν δὲ σημείωμα τούτων τὸ τῆς κεφαλῆς κάλυμμα, ὃ κατὰ τὴν κοινὴν γλῶτταν Ῥωμαίων Ζαρκυλὰν λέγουσι. καὶ γὰρ κοινοὶ πάντες Τοῦρκοι τὸ αὐτὸ χρῶνται ὡς κεφαλῆς περιβόλαιον· οἱ μὲν πάντες, ὅσοι ἐξ ἰδιωτῶν, καὶ ἐξ εὐγενῶν τυγχάνουσι, κοκκινοβαφὲς τοῦτο χρῶνται· ὅσοι δὲ τῶν ἀλλογενῶν τῷ τῆς δουλείας ὑπέπεσον ζυγῷ, γραφέντες δοῦλοι τοῦ ἀρχηγοῦ, οὗτοι λευκόχροα φοροῦσι τὰ τῆς κεφαλῆς περιβόλαια ἐκ πίλου λευκοτάτου· ἡμισφαιρὲς ὅσον χωρεῖν κεφαλήν, ἔχον περιττεῦον ἄνωθεν τῆς κορυφῆς ὅσον καὶ σπιθαμῆς, εἰς ὀξὺ καταλῆγον. Τοῦτο τοίνυν τὸ νεόλεκτον σύνταγμα καθ᾽ ἕ- C καστον ἔτος ὑπερπερισσεῦον ἐστί, καὶ εἰς τὸ ἕν, ἑκατοντάκις ἓν ἀριθμοῦνται. καὶ γὰρ δοῦλοι δούλους κτῶνται, καὶ τῶν δούλων οἱ δοῦλοι δούλους καὶ πάντες ὀνομάζονται, καὶ εἰσὶ τοῦ ἀρχηγοῦ δοῦλοι. οὐκ ἔστιν ἐν αὐτοῖς οὔτε Τοῦρκος οὔτε Ἄραψ, ἀλλὰ πάντες Χριστιανῶν παῖδες Ῥωμαίων, Σέρβων, Ἀλβανῶν, Βουλγάρων, Βλάχων, καὶ Οὔννων. οἵτινες ἀσεβήσαντες, καὶ τοῦ παρόντος τὰς ἀπολαύσεις, ὡς χοῖροι λαχάνων, κατατρυφῶντες, παρόμοιοι κύνεσι λύτταν νοσοῦντες, κατὰ τῶν ὁμογενῶν ἔχθραν ἄσπονδον θανατηφόρον ἀεὶ φέρουσι. ὡς γὰρ ἀνωτέρω εἰρήκαμεν, ὅτι ὑπήκοοι μεταβάλλονται ἐξ ἄλλου εἰς ἕτερον ἀρχηγὸν εὐκόλως· πλὴν ἐκ τῆς αὐτῆς ῥίζης τοῦ Ὀθμὰν εἶναι τὸν ἤδη, * τὸν νυνὶ ἄρξαντα, καὶ οὐκ D ἄλλοθεν. Καὶ τὸ δοῦλον φῦλον, οὗ διήλθομεν τὴν ἱστορίαν, καὶ αὐτὸ τὴν αὐτὴν ὁρμὴν κέκτηται· ἀρκεῖ γὰρ εἶναι τὸν νέαρχον Ὀθμάνιον. πάντες γὰρ οἱ Ὀθμάνιοι πάτρωνες αὐτῶν λογίζονται, καὶ εἰσὶ καὶ αὐτοὶ ὡς ἰδίους ἀπελευθέρους αὐτοὺς ἔχουσι. ἐπὰν δὲ ῥεύσῃ ἡ ἀρχὴ ἐξ ἄλλου εἰς ἕτερον, ἢ ἐκ πατρὸς πρὸς υἱόν, ἢ εἰς ἀδελφὸν ἐξ ἀδελφοῦ, τὸν ὃν ἡ τύχη καλῶς προσβλέψοι, ἐκεῖ καὶ τὸ δοῦλον πιστότατα τὴν παράστασιν ἀπεργάζεται· ἀρξόμεθα δὲ πάλιν τὴν ἱστορίαν, ὅθεν καὶ ὁ λόγος τοῦ διηγήματος ἤρξατο.

* videntur hic deesse aliqua verba, τεθνεῶτα ἢ, vel forte deest tantum καὶ

A emptum, rerum principis procuratores imperio adquisitum mancipiumque appellant. talesque Imp. militem novitium, sua vero lingua Genitzeros vocat. quos etiam ad impiam religionem suam traductos circumcisosque, domesticos suos nominat: dona ipsis omnimoda largitur: aulicis muneribus & officiis illustrissimis honorat: ipsisque non perfunctorie providet, cætera bona impertiendo. ad comessationes compotationesque eos admittit, & amore paterno ipsos tamquam se progenitos, complectitur: etiamque caprarios, opiliones, bubulcos, & subulcos rusticorum & veterinariorum prolem. Erga Imperatorem equidem, in eos ita pronum, ita se gerunt, ut vitam suam pro illo profundant: magis- B que pro tuendo honore & gloria quibus aucti sunt, & ne iis excidant, in bellicis expeditionibus supra humanas vires ærumnas ac labores tolerant: unde victoriam reportant. Discernuntur vero illi capitis ornamento, quod vulgari lingua Romæi Zarcolam dicunt. Universa namque multitudo Turcorum formæ ejusdem galero, eoque coccineo ad tegendum caput utitur, sive nobiles, sive plebei. Quotquot vero peregrini fuerint sub servitutis jugum missi, mancipia Imp. adscripta albos gestant pileos, ex lana candidissima compilatos, qui hemisphærii formam referunt, quo caput contegitur; qui insuper supra capitis verticem palmi magnitudine erecti, in acu- C tum desinunt. Hic profecto novæ militiæ ordo annis singulis multiplicatur, & uni centum accedentur. Servi quippe mancipia possident, qui aliorum heri sunt, omnesque putantur, prout revera sunt, Imperatoris servi. Inter ipsos non Turcus aut Arabs reperitur, verum omnes Christianorum filii, Romæorum scilicet, Serviorum, Albanorum, Bulgarorum, Walachorum & Hunnorum; qui abjurata pietate, vitæ hujus fruuntur deliciis, velut porci oleribus: similesque canibus rabie contactis, cum consanguineis suis inimicitias capitales semper exercent. Ut equidem supra narravimus, nullo negotio subditi hunc vel illum Imperatorem agnoscunt, dummo- D do ex eadem stirpe Othmanica, non ex alia, decessor ac successor prognati sint: istaque mancipiorum natio, cujus historiam persequimur, eodem animi affectu impellitur. Hoc quippe ipsi satis est Imperatorem novum ex gente Othmanica ortum esse. Omnes namque ab ea oriundi patroni ac domini ipsorum, velut libertorum, sunt & habentur. Cum autem imperium ab uno ad alium transfertur, vel a patre ad filium, aut a fratrum uno ad alterum, eum nempe cui fortuna arriserit: & huic ista servorum natio fidelissimam operam præstat. Iterum ad historiæ seriem revertamur, unde digressi narrationem istam incœpimus.

Genitzari ut ab imperatore habiti.

Edit. Paris. pag. 77.

Zarcola capitis ornamentum.

Turci indifferenter se habent ad huic vel illi, dummodo Othmanica esset prognato, parendum.

Digitized by Google

Edit. Parif. pag. 78.

CAPUT XXIV.

Demetrius Leontarius Mustapham & Cineitem in Thraciam trajicit, de recipiendis aliquot urbibus cum iis pactus. Mustaphas Callipolim oppugnat, & ad deditionem, quæ secuta est, sollicitat. Arx interim in fide stat, quam oppugnat Leontarius. Morates Mustaphæ rebellione cognita, Bajazitem Bassam, cæterorum Vezirorum sententiæ obtemperans, exercitui præficit, & contra Mustapham mittit. Bajazites deficientibus in pugna initio ad Mustapham exercitus sui ducibus copiisque, & ipse permittere se victori coactus est: jussu deinde Cineitis caput ei amputatum. Mustaphas Adrianopolim proficiscitur. Callipolis Leontario se dedit, quam cum ex pactis imperatori acquisitam præsidio firmare parat, a Cineite impeditur, delususque Constantinopolim redit.

Leontarius in Thraciam trajicit Cineitem & Mustapham, &

DEMETRIUS Leontarius secum ductis Mustapha filio Ilerim Bajazitis, simulque prædicto Cineite, ut supra narravimus, jurejurando prius cavit, per se numquam irritum fore Imperatoris Manuelis consilium; sed semper, velut filium, in illius, tamquam patris fore potestate. Ideoque fidei suæ pignora ac obsidem filium suum apud ipsum deposuisse. Cum eis deinde pactus est, ut Callipolim, quæ in Chersoneso, regionesque Ponti Euxino adiacentes usque ad Vualachiæ limites imperatoris traderent. Thessaliæ insuper oppida usque ad Erissum & Montem Sanctum: aliaque loca, quæ nec facile recipi ac tradi poterant. Mutua ergo fide data, & jurejurando adhibito, velis expansis versus Callipolim navigant. At Moratis legati præsidio sufficienti arcem firmaverant: in portum Scaphas atque triremes subduxerant, & turri quæ portui imminet militea provide imposuerant, qui hostium adpulsum quieti expectarent. Demetrius exposito in terram Cineite, cum parva Turcorum, quos adduxerat, manu, Romæorumque exercitu haud invalido, oppugnare oppidum aggreditur. Levis porro armaturæ milites, plebsque Callipoleos cominus pugnantes ad resistendum Cineiti impares erant; vir etenim ille fortis erat, artisque militaris præ Turcis cæteris peritus; quare vel inviti terga dant, & in fugam oppidani vertuntur. His animadversis audacior factus Mustaphas e triremibus fiducia plenus exivit: ad vesperam usque deinceps pugnatur, sub quam rursus Mustaphas & Demetrius regiam triremem conscendunt; cumque ambo in ejus puppi consedissent, hortatus est Mustaphas contra se pugnantes oppidanos, ut, fide ipsis data, se coram sine metu sisterent, quod cupesset cum ipsis quosdam sermones conferre eorum civitati utiles. Hanc itaque orationem ad eos habuit: *Notam vobis probe est, viri, me Ilerim Bajazitis filium esse, vos vero patris mei mancipia fuisse. Quare venerationem & obsequiam domino vestro non exhibetis? num ignoratis eumdem fuisse decessorem ac fratrem meum? Ille quidem fratricida fuit, imperiumque ad hanc diem per vim & injuriam occupavit: meque fugitivum in Romæorum manus, velut in carcerem, compulit. Nunc vero prospera magis ac lætiori fortuna, annuente Deo, aetati, citraque impedimentum rebus mihi procedentibus, pater-*

cum eis paciscitur de tradendis Manueli imperatori aliquot urbibus. Ex hist. Musulm. Hegiræ 825. Christi 1422.

Mustaphas Callipolim oppugnat.

Mustaphas ad Callipoleos incolas oratio. pag. 79.

A Ὁ Δημήτριος λαβὼν τὸν Μουσταφᾶν υἱὸν ὄντα τοῦ Ἰλδερὶμ, ὡς ὁ λόγος φθάσας ἐδήλωσε, καὶ σὺν αὐτῷ τὸν προῤῥηθέντα πολλάκις Τζινεῒτ, ὅρκοις αὐτοὺς ἀσφαλίσας πρότερον, ὡς οὐκ ἀθετήσει ποτὲ τὴν βασιλικὴν βουλὴν, ἀλλὰ ἀεὶ ἔσται ὑπήκοος ὡς υἱὸς πρὸς πατέρα, δοὺς αὐτῷ τὸν υἱὸν αὐτοῦ εἰς πίστιν. καὶ συνθήκας ποιήσαντες, δώσειν τῷ βασιλεῖ τὴν ἐν Χεῤῥονήσῳ Καλλίπολιν, καὶ τὰ ποντικὰ μέρη ἄχρις ὁρίων Βλαχίας, καὶ τὰ τῆς Θετταλίας ἄχρι Ἐρισσοῦ, καὶ ἁγίου ὄρους, καὶ ἄλλα τινὰ δύσδοτα, καὶ δυσκατέργαστα δόματα. ἀσφαλίσαντες οὖν αὐτοὺς ὅρκοις, καὶ τὰ ἱστία πτερώσαντες ἐπὶ τὴν Καλλιούπολιν ἔπλευσαν· καὶ δὴ καὶ οἱ τοῦ Μουρὰτ ἀσφαλίσαντες, ὡς ἔδει, τὸ πολίχνιον, καὶ ἐν τῷ λιμέ-B νι τὰς σκάφας καὶ τὰς τριήρεις εἰσάξαντες, καὶ τοὺς πολεμιστὰς ἐπὶ τὸν πύργον τὸν ἐν τῷ λιμένι, καλῶς ἐφαρμόσαντες, ἐκάθηντο προσδεχόμενοι πόλεμον. ὁ δὲ Δημήτριος ἐξαγαγὼν τὸν Τζινεῒτ μετ' ὀλίγων, ὧν εἶχε, Τούρκων, καὶ Ῥωμαίων οὐκ ὀλίγον στρατὸν, ἤρξατο πόλεμον αἴρειν. καὶ δὴ τὸ γασμουλικὸν τῆς Καλλιουπόλεως, καὶ τὸ δημοτικὸν κατὰ πρόσωπον μαχεσάμενοι, οὐκ ἴσαν ἀρκοῦντες εἰς ἀντίστασιν τῷ Τζινεῒτ. ἀνδρεῖος γὰρ ἦν ὁ ἀνὴρ, καὶ περὶ τὰ πολεμικὰ ἐμπειρότατος, ὡς οὐδεὶς τῶν τότε Τούρκων· τότε καὶ μὴ θέλοντες νῶτα δίδωσι, καὶ εἰς φυγὴν οἱ τῆς πόλεως ἐτρέποντο. Ὁ Μουσταφᾶς οὖν ταῦτα ὁρῶν, καὶ θάρσους πλήρης γενόμενος, σὺν πολλῷ τῷ θράσει ἐξῆλθε καὶ αὐτὸς τῶν τριήρεων. C καὶ δὴ ἕως ἑσπέρας ἀρειανῶς πολεμήσαντες, τῇ ἑσπέρᾳ πάλιν ὁ Μουσταφᾶς σὺν τῷ Δημητρίῳ ἐν τῇ βασιλικῇ τριήρει εἰσελθόντες, καὶ ἄμφω ἐν τῇ πρύμνῃ καθίσαντες. καὶ κελεύσας ἀφόβως τοὺς ἐναντίους ἀπέναντι τούτων κατὰ πρόσωπον στάντας, πίστεις δοὺς ὡς ὀλίγους τινὰς λόγους συνεροῖ μετ' αὐτῶν, εἰς συμφέρον τῆς πόλεως. ἤρξατο δὲ δημηγορήσας ἀντιλέξειν οὕτως· Ὦ ἄνδρες οἴδατε ἀκριβῶς ὅτι τοῦ Ἰλτρὶμ ὑπάρχω υἱὸς, ὑμεῖς δὲ δοῦλοι τοῦ ἐμοῦ πατρός. τίνι τρόπῳ τὸ σέβας οὐκ ἀπονέμετε τῷ κυρίῳ ὑμῶν; οὐκ οἴδατε ὅτι ὁ προαυθεντεύσας ὑπῆρχεν ἐμὸς ἀδελφός; κἀκεῖνος τὸν ἕτερον τῶν ἀδελφῶν φονεύσας, καὶ τὴν ἡγεμονίαν ἄχρι τοῦ νῦν ἀδίκως παραλαβὼν, ἐμὲ φυγάδα, καὶ μέχρι τοῦ νῦν ἐν χερσὶ Ῥωμαίων ἔγκλειστον ἀποκαταστήσας, νῦν Θεοῦ νεύσει πρός με τῆς τύχης ἱλαρῶς ἐπιβλεψάσης, καὶ ἀπροσκόπτως προτρεχούσης, εἰσάξαι με εἰς τὴν πατρικὴν ἡγεμονίαν· ὑμεῖς ἀντωθεῖτε,

A καὶ οὐκ ἐάσω προβλῆναι. εἰ μὲν οὖν πείσοιτέ μοι, καὶ παραχωρήσητέ μοι, καὶ δώσητε τὴν ὁδὸν ἀπάγουσάν με ἐν τῇ Ἀδριανοῦ, ἐν τῷ οἴκῳ τῷ πατρικῷ, ἔσεσθέ μοι ἀπὸ τοῦ νῦν οὐ δοῦλοι, ἀλλ' ἀδελφοί. καὶ τὴν πατρικὴν εὔνοιαν φυλάξω εἰς ὑμᾶς, καὶ ὑπερεκθήσω χάρισι χάριτας, καὶ ταῖς δωρεαῖς δωρεάς. εἰ δ' ἀντισταθείητε, ἐγὼ μὲν ἐγκρατὴς γενήσομαι τῶν πραγμάτων τῶν πατρικῶν, συνεργούσης τῆς τύχης, καὶ συγκοπιῶντος τοῦ ἐμοῦ πατρὸς τοῦ βασιλέως. καὶ γὰρ τῷ Μουρὰτ οὐκ ὀρεχθήσεται ἡ πρὸς τὰ ἑσπέρια ἀπάγουσα ὁδός· ἐπὰν δὲ γενήσομαι κύριος τῶν ὑμῶν, καὶ λάβω καιρὸν, ἐγὼ ὑμᾶς κρινῶ. Τούτων οὕτως ἐναντιθέντων, αὐτόμολοι τῶν προὐχόντων τινὲς ἦλθον καὶ προσεκύνησαν, καὶ μετ' ἐκείνους ἕτεροι. πρωΐας δὲ ἐξελθὼν ἐκ τῶν τριήρεων σὺν τῷ Τζινεὴτ, ἐπιβάντες ἵπποις, καὶ τὸ ἐνυάλιον ἠχή- B σαντες, ἐκ τῶν τριήρεων ὥρμησαν, ὡς πρὸς πόλεμον, σὺν τοῖς ἐνόπλοις Ῥωμαίοις τε, καὶ Τούρκοις. καὶ δὴ τὸ τοῦ δήμου πλῆθος ἅπαν ὅσον ἔνοπλον, καὶ ὅσον θεατρῶδες, αὐθωρὸν ἀπένειμαν τὴν προσκύνησιν· καὶ πάντες εὐφήμουν αὐτὸν ὡς ἀρχηγὸν, καὶ τοῦ Ὀθμὰν ἀπόγονον. καὶ συνέρρεον ἄχρις ἑσπέρας αἱ πέριξ κῶμαι, καὶ προσκυνοῦντες εὐφήμουν. οἱ δὲ τοῦ πολιχνίου ἐντὸς οὐκ ἐνεδίδουν, ἀλλ' ἀνθίσταντο λέγοντες, καὶ ὑψηλῇ τῇ φωνῇ εὐφημίζοντες τὸν Μουρὰτ ὡς ἀρχηγὸν αὐτῶν, καὶ καθολικὸν δεσπότην, τὸν δὲ Μουσταφᾶν ὀνειδίζοντες· τότε ὁ Μουσταφὰς ἀπάρας τὰς δυνάμεις, πρὸς τὸ ἑξαμίλιον τῆς Χερρονήσου ἔζευσε, καὶ πάντες οἱ τῆς Χερρονήσου καὶ τῶν ἔξω συνελθόντες C εὐφημοῦντες. ὁ δὲ Δημήτριος ἐπολιόρκει τὸ φρούριον τῆς Καλλιουπόλεως. Ἐπαναγάγωμεν οὖν τὸν λόγον εἰς τὰ τοῦ Μουρὰτ, δηλοποιήσοντες ἡμῖν πῶς καὶ τίνι τρόπῳ τὴν ἀρχὴν ἔσχε, καὶ πῶς τὰ τῶν Ῥωμαίων βουλεύματα εἰς κενὸν κατηντήκεσαν· καὶ ποίῳ τρόπῳ ὁ Μουσταφᾶς ἀπέδρα θανατωθεὶς, καὶ ὁ Τζινεὴτ πῶς αὐτὸν καταλιπὼν ἔφυγε. Ἐπειδὴ διάγοντος ἐν τῇ Προύσῃ τοῦ Μουρὰτ, ὡς ὁ λόγος φθάσας ἐδήλωσε, καὶ τοῦ ὑπηκόου τὸ κρεῖττον καθ' ἑκάστην συρρέοντος ἐπ' αὐτὸν, ὡς δῆθεν τὴν πατρικὴν θανὴν παραμυθῆσαι βουλόμενοι, καὶ τὸ τῆς ἀρχαγίας εἰσόδιον χαιρετίζοντες· ἄφνης μήνυμα ἐκ Λαμψάκου, ὡς τριήρεις ἐν τῇ Καλλιουπόλει ὅτι πλεῖ- D σται, καὶ φωναὶ καὶ ταραχαὶ, καὶ ὀργάνων ἦχοι, καὶ κτύποι ἐπάλξεων, καὶ ἄλλα τινὰ σημεῖα ἐχθρῶν ἀπαγγέλλοντες. οἱ δὲ τοῦ Μουρὰτ δοκιμώτατοι, καὶ τῶν ὑπερεχόντων περιφανέστατοι, φθόνον τρέφοντες ἔκπαλαι κατὰ τοῦ Παγιαζὴτ, ὡς ὑπερέχοντα πάσης τιμῆς, καὶ μεγαλαυχοῦντα, καὶ εἰς οὐδὲν λογιζόμενον τοὺς πάντας, καὶ γὰρ ὑπερόφρυς ἦν ὁ ἀνὴρ, καὶ τοῖς πολλοῖς σκωπτικός· καιρὸν εὑρόντες ἁρμόδιον καὶ τὸ παρρησιαστικὸν πρὸς αὐτοὺς ῥέπον· καὶ γὰρ ὁ Μουρὰτ νέος ὢν, καὶ τῆς ἀρχῆς τὰς ἡνίας οὔπω ταῖν χεροῖν κρατῶν· ἀλλ' ὡς ἡμίονος ἀδάμαστος, ἡ τυραννὶς ἔνθεν κἀκεῖθεν ἀπολακτίζων τὼ πόδε, καὶ καταφρονῶν τῷ παιδί. οὐκ ἦν ἐν αὐτῷ παρρησίας σπινθὴρ, ἀλλὰ E μᾶλλον πρὸς τοὺς σατράπας στοργὴ, καὶ πέρα τοῦ μέτρου διάθεσις· ἔλεγον πρὸς αὐτόν· ὁρᾷς κύριε τὴν τοῦ ἐπιστάτου ἡμῶν ἐπιμέλειαν· ἤδη τὰ τῆς δύσεως ὤλοντο, καὶ ὁ τῆς σῆς αὐθεντίας κορωνὶς, ἐτέθη ἐν τῇ τοῦ Μουσταφᾶ κεφαλῇ. ὡς ἐν ὀλίγῳ γὰρ ἐγκρατὴς γενήσεται πάντων τῶν Θρᾳκικῶν θησαυρῶν καὶ δυνάμεων· καὶ μετ' οὐ πολὺ ἰσχύσει καὶ καθ' ἡμῶν, εἰ μὴ ἄρα γέ-

A *numque imperium adepto vos adversumlati nec finitis vos meas incrementa suscipere. Si itaque partes meas secuti fueritis obsequio mihi praestito, & via, quae Adrianopolim domum paternam ducit, aperta, in posterum mancipia mea vos non reputabo, sed fratrum loco habebo, paternamque benevolentiam intactam erga vos servabo: beneficiisque beneficia, largitionibus largitiones superaddam. Si secus vero, ac hostiliter adversum me vos geratis, adjuvante fortuna, & Imperatore Manuele patre meo, ditiones paternas recuperabo. ubi quoque illas recepero, occasione mihi data vos condemnabo.* Talia cum audiissent, sponte transierunt ad Mustapham aliquot ex oppidi primariis, eorumque exemplum alii secuti, ipsum Imperatorem salutaverunt. B Postridie ubi illuxit ex triremibus cum Cineite exscendit, & equis conscensis signum pugnae datum: exque triremibus veluti ad praelium Romaei Turcique armati procedunt. Confestim plebejorum multitudo, quotquot armati erant, caterique qui tamquam scenae spectatores erant, eum salutarunt ac venerati sunt: cunctique utpote Duci atque Imperatori Othmanica stirpe edito, acclamando plauserunt; continenter etiam ad vesperam ex pagis ac vicis proximis universi confluxere venerabundi, ac fausta precantes. Qui vero arcem intra urbem sitam propugnabant, ipsi se Mustaphae non permisere: quinetiam animose resistentes, alta voce Morati felicem eventum augurabantur, Imperatori nempe suo universorumque do- C mino, jactis rursum in Mustapham probris. Tunc ergo Mustaphas deducto inde exercitu ad Chersonesi hexamilium tendit: universique Cherronesii, & qui extra Peninsulam habitant, concursu facto eum salutant. Intereaque castellum Callipoleos Demetrius oppugnat. Sed ad res Moratis narrandas redeamus, ut nobis innotescat, quibus modis imperium obtinuerit: quomodo etiam Romaeorum irrita consilia successu caruerint: ut etiam Mustaphas aufugerit, neciquе deditus fuerit, ipsumque deseruerit arrepta fuga Cineites. Cum Prusae ageret Morates, ut jam diximus, potiorque pars subditorum quotidie ad ipsum accederent de morte patris consolaturi, eique ad impe- D rii adsumptionem congratulari: subito nuncius Lampsaco affertur, triremes quamplurimas Callipoli in statione esse; vociferationem, tumultum, machinarumque fragorem ac strepitum super moenium pinnis exaudiri, aliaque signa hostilis irruptionis. Moratis itaque consiliarii probatissimi, procerumque praecipui Bajaziti olim invidentes, quod caeteris, qui honores gerebant, potentia praestaret, superbe quoque se gereret, nihilique omnes penderet, (superciliosus quippe vir ille erat, inque multos contumeliosus) tempus aptum & libertatem sibi oblatam loquendi rentur. Morates etenim adolescens manibus suis imperii habenas non moderari, sed procerum tyrannis. Ceu mulus indomitus huc & illuc recalcitra- E re, puerumque Imperatorem nihili facere: in quo ne libertatis loquendi scintilla micabat; ille potius Satrapas suos complecti, & supra modum caros habere; ad quem ejusmodi orationem habuerant: *Cernis, Domine, quam diligenter res nostras praefectus noster curet; quae in occidentalibus partibus jam perierunt. regni tui corona Mustaphae capiti imposita est. Thraciae gazarum viriumque is brevi potietur: statimque, nisi*

Ad Mustapham transeunt aliquot Callipolitani.

Plebs etiam ut Soltano & imperatori acclamat.

Callipoleos arx Mustaphae resistit & a Leontario oppugnatur.

Nuncius de Mustaphae rebellione Morati affertur.

Edit Paris. pag. 80.

Bajazites Bassaoh potentiam invisus.

Morates sibi-diutinorum ministrorum obnoxius.

Vezirorum & Bassarum ad Moratem oratio.

aliquatenus provideatur, adversus nos confirmanda ejus potentia est. Impera itaque cum copiis omnibus, quæ hic præsto sunt, Bajazitem fretum trajicere, & contra Mustapham eas ducere, priusquam huic provinciarum occidentalium se adjungant copiæ. Inter Satrapas equidem tuos, nullus est Bajazite aptior ad repellendum & in fugam convertendum hostem; universa siquidem Thraciæ militia eum, atque ac dominum suum respicit; ipseque quo vult, non secus quam famulos suos ducit, obsequentisque omnino submissosque habet.

Bajazites libenter belli curam & onus contra Mustapham suscipit.

Hæc libenter audivit Bajazites, & quam celeriter potuit, ad fretum sacri ostii Propontidis pervenit; cumque paucis militibus comitantibus in continentem ulteriorem trajecit: biduoque Adrianopolim accedens, validum exercitum illic contrahit. In omnibus enim, ut prædiximus, vir ille acer ac promptus erat: ab omnibusque observabatur.

Duces occidentis sibi conciliat.

Communicatis deinde consiliis cum provinciarum occidentalium rectoribus, ipsos sacramento adegit, numquam, etiamsi cladem quoquomodo acciperet, defecturos: quinetiam fortiter ac generose adversus hostem se gesturos, & operam suam, quo victor Deo juvante evaderet, navaturos. His atque similibus inter eos actis, præpotentem exercitum eduxit Bajazites; cumque viam, quæ recta in Cheronesum ducit, ingressus esset, speculatores ab eo præmissi festinanter redeunt, nunciantque

Bajazites & Mustaphas sibi invicem occurrunt.

Edit. Paris. pag. 81.

Mustapham cum ingenti exercitu, relictis locis illis, trangressum esse juxta vicum a Turcis nuper extructum, hominumque frequentia celebrem, (Magna Carya is vocatur) postridie vero castrametaturum in agro Adrianopoleos. Hoc nuncio accepto Bajazites suspensus animi, inter audaciam & metum anceps Adrianopoli egreditur, copiasque supra triginta militum millia educit. Cumque pervenissent in quemdam campum uliginosum, (cujus extrema pars agro Adrianopolitano vicina est: ita tamen ut obscure Adrianopolis inde conspiciatur, quod sylvis sit consitus, valdeque humidus locus) ad prælium se comparat. Jamquoque illuc cum suis accesserat Mustaphas, & utrumque exercitum ad conserendum inter se manus necessitas adigebat, quamvis incommodus situs videbatur. Hic Bajazites orationem paræneticam curru vectus ac equitans meditatus, occidentis

Bajazitis ad occidentis duces oratio.

Duces sic alloquutus est: *Viri fratres, universique qui vestro imperio parent, probe vobis cognitum est, quam clemens atque mansuetus in vos fuerit Dominus noster defunctus. Ejus animum mitem ac facilem experti estis, qui vos non servorum, sed fratrum loco habebat. Is profecto voluptatibus suis haud indulgebat, æque, ac utilitatibus vestris studebat: quodque in universos conferebat bonum, id lucro sibi apponi rebatur. Eo tendebat ille, ut Prophetæ genus incrementa susciperet, resque Romæorum accisæ imminuerentur. multas proinde urbes ac provincias Musulmanorum imperio adjunxit, nec cessavit ad obitus sui diem vires ac potentiam augere, amplioresque reddere. Nunc vero qui hic castra habet falsus Turca, qui propter peccata nostra caput hoc tempore extulit, imperium nondum a se occupatum sibi arrogat: Romæisque potiorem ejus nondum acquisiti partem tradit, quod Regis nostri majores multo sudore ac labore partum possidebant. An non clare intelligitis hanc Callipoli, majusque freti claves esse orientis ac occidentis, Ægæi maris & Euxini? Quod si hanc sub ditione sua Romæi retineant, Turci captivos Romæos*

A συνταί τις ἐπιμέλεια. Κέλευσον οὖν σὺν τῇ δυνάμει, τῇ εὑρισκομέναις ὧδε, περᾶσαι τὸν πορθμὸν, καὶ ἀντιπαρατάξαι τῷ Μυσταφᾷ, πρὸ τοῦ ἐλθεῖν καὶ συνεφθῆναι τὰς δυτικὰς δυνάμεις σὺν αὐτῷ. καὶ γὰρ οὐκ ἔστι τῶν σῶν σατραπῶν ἕτερος, ὡς ὁ Παγιαζὴτ, ἀντιστῆναι, καὶ καταστρέψασθαι τοὺς ἐναντίους, ὡς αὐτός· ἐπεὶ καὶ τὰ Θρακικὰ τάγματα ὡς κύριον αὐτὸν σέβονται πάντες. καὶ αὐτὸς ὡς οἰκέτας αὐτοὺς ἄγει ὅπου καὶ βούλεται, δεικνύοντες εἰς αὐτὸν ἄκραν ὑπακοὴν, καὶ ταπείνωσιν. τότε ὁ Παγιαζὴτ προθύμως τὸ λεχθὲν ἀκούσας, καὶ μετὰ σπουδῆς πολλῆς, ὡς εἶχε, τὸν πορθμὸν τῆς Προποντίδος τοῦ ἱεροῦ στομίου καταλαβὼν, καὶ τὴν περαίαν διαβὰς σὺν τοῖς παρατυχοῦσιν εὐαριθμοῖς, ἐπὶ δυσὶν ἡμέραις τὴν Ἀδριανούπολιν καταλαβὼν, κἀκεῖ συ-

B ναγηοχὼς παμπληθῆ στρατόν. ἦν γὰρ, ὡς εἰρήκαμεν, ἐμβριθὴς ἦν ὁ ἀνὴρ ἐν τοῖς πᾶσι, καὶ πάντες πρὸς αὐτὸν καραδόκουν. καὶ κοινολογησάμενος σὺν τοῖς ἄρχουσι τῶν δυτικῶν μερῶν, καὶ πίστεις παρ᾽ αὐτῶν λαβὼν, ὡς ου(κ) ἀποστατήσουσιν, οὔτε * τὴν τυχοῦσαν ἀποσῇ βλάβην· ἀλλὰ * *add. κἂν* γενναίως ἀντιστῶσι τῷ ἐχθρῷ καὶ τούτου Θεοῦ συνεργοῦντος νικητὴν ἀναδείξωσι· Ταῦτα, καὶ τὰ τούτοις ὅμοια λέξαντες, ἔξεισι μετὰ δυνάμεως πλείστας. καὶ δὴ τὴν ἐν Χερρόνησον φέρουσαν ὁδὸν εὐθυδρόμως ἀρξάμενοι, ταχυδρόμοι τινὲς ἦσαν προπεμφθέντες παρ᾽ ἐκείνου. καὶ δὴ ἐπανελθόντες ἀγγέλλουσι τῷ Παγιαζὴτ, ὡς ὁ Μυσταφᾶς μετὰ δυνάμεως πλείστης ἀπάρας τῶν ἐκεῖσε, καὶ περαιωθεὶς τὴν κώμην παρὰ τῶν Τούρκων μεγαλυνθεῖσαν κώμην, καὶ εἰς πολυάν-

C θρωπον πληθυνθεῖσαν, ἥ τις μεγάλα Καρύα κέκληται, ἐγγύς που τῷ κάμπῳ τῆς Ἀδριανοῦ τῷ πρωὶ μέλλει αὐλίσασθαι. ταῦτα ἐνωτισθεὶς ὁ Παγιαζὴτ, καὶ μέσον θράσους καὶ δειλίας πρυτανευόμενος, ἔξεισι τῆς Ἀδριανοῦ μετὰ καὶ τῶν σὺν αὐτῷ πλειόνων, ὑπὲρ τριάκοντα χιλιάδας ὄντων. φθασάντων δὲ ἔν τινι ὑδατώδει πεδίῳ (καὶ αὐτὸ πλησίον ἐν τῷ ἄκρῳ τοῦ κάμπου, ὥστε τὴν πόλιν Ἀδριανοῦ φαίνεσθαι ἀμυδρῶς ἐξ αὐτοῦ, ἀλσώδει ὄντι καὶ λίαν καθύγρῳ) ἐν τούτῳ τὰ τῷ πολέμῳ ηὐτρεπίζετο. καὶ γὰρ ἔφθασε καὶ ὁ Μυσταφᾶς σὺν τοῖς ὑπ᾽ αὐτὸν, καὶ ἄμφω τὰ στρατόπεδα ἐξ ἀνάγκης ἐχρῆν συμπλακῆναι εἰ καὶ ὁ τόπος ἐδόκει ἀσύμφορος. Τότε ὁ Παγιαζὴτ ἅμα καὶ τὴν δημαγορίαν, καὶ τὴν ἐφ᾽ ἅρμασι καὶ ἵπποις παρακέλευσιν συνάψας, πρὸς τοὺς ἡγε-

D μόνας τῆς δύσεως ταῦτα εἴρηκεν· Ἄνδρες ἀδελφοὶ, καὶ ὅσοι ὑπὸ τὴν ὑμετέραν χεῖρα κοινὸν, οἴδατε ἀκριβῶς τοῦ παρωχηκότος ἡμῶν δεσπότου τὴν ἀγάπην, ἣν ἐδείκνυε πρὸς ὑμᾶς καὶ τὸ ἀδιάθετον τῆς γνώμης αὐτοῦ, ὡς οὐκ ἐχρᾶτο ὑμᾶς ὡς δούλους, ἀλλ᾽ ὡς ἀδελφούς· καὶ οὐ τόσον ἐφρόντιζε τὰς οἰκείας ὀρέξεις, ὡς τὸ συμφέρον ὑμῶν. καὶ ὡς ἕρμαιον ἡγεῖτο τὸ κοινὸν ἀγαθὸν, καὶ κατὰ σκοπὸν εἶχε τὸ αὐξάνεσθαι τὸ τοῦ προφήτου ἔθνος, καὶ ἐλαττοῦσθαι τὸ τῶν Ῥωμαίων καὶ πόλεις πολλὰς συνῆψε καὶ ἐπαρχίας τῇ τῶν Μουσουλμάνων ἀρχῇ. καὶ οὐκ ἔλιπεν ἄχρι τελευτῆς αὐτοῦ προστίθεσθαι, καὶ πλεονάζειν δυνάμεις καὶ πράγματα. Νῦν δὲ ὁ παρὼν οὗτος ψευδότουρκος, ὃς καὶ διὰ τὰς ἁμαρτίας ἡμῶν ἐν ταῖς παρούσαις ἡμέραις ἠγέρθη, ἤδη τὴν αὐθεντίαν με-

E ρίζων πρὸ τοῦ λαβεῖν· καὶ τοῖς Ῥωμαίοις τὰ κρείττω πρὸ τοῦ ἔχειν παραδίδωσιν, ἅ τινα οἱ τοῦ ἀρχηγοῦ ἡμῶν πατέρες μετὰ πολλῶν ἱδρώτων, καὶ πόνων ἐκτήσαντο. ἢ οὐκ οἴδατε, ὅτι ἡ Καλλιούπολις, καὶ ὁ ταύτης πορθμὸς κλεὶς ἐστὶν ἀνατολῆς τε καὶ δύσεως, Αἰγαίου πελάγους καὶ τοῦ Εὐξείνου; καὶ εἰ ταύτην Ῥωμαῖοι βασιλεύουσιν, ἄπιστα Τοῦρκοι Ῥωμαίους αἰχμαλώτους εἰς ἑαυτὰ διαπορθμεύουσι· Ῥωμαῖοι δὲ Τούρκους

καὶ

καὶ μάλα. καὶ ἔσται ἀρχὴ ὀδυνῶν τὰ νῦν μέτρα, ἐλευθερίας δὲ ἀπαρχὴ τῶν Ῥωμαίων. Διὸ παρακαλῶ ὑμᾶς ὡς χρὴ ἀντιστῆναι τῷ πλαστῷ τούτῳ Μουσταφᾷ, καὶ τοὺς συνασπιστὰς, καὶ ὁμόφρονας τούτου Ῥωμαίους. οὐ γὰρ ἐκ τῶν αἱμάτων Ὀθμὰν οὗτος ὁ δυσσεβὴς, καὶ ἐχθρὸς τῆς πίστεως. καὶ γὰρ ἐκεῖνος ὁ Μουσταφᾶς, ὁ ἀδελφὸς τοῦ κυρίου ἡμῶν, ἐτεθνήκει κομιδῇ νήπιος ὤν, καθὼς ὁ κύριος ἡμῶν ἔλεγε πρός με. οὗτος γὰρ τῶν χυδαίων Τούρκων εἷς ὤν, ἐν ταῖς ἡμέραις τοῦ προπαρῳχηκότος Μωυσῆ, ὁ Βασιλεὺς Μανουὴλ τοῦτον, ὡς υἱὸν τοῦ Ἰλτρὴμ, ἐφανέρωσε, ἐκφοβῶν τὸν Μωυσῆν, εἶτα ὁ πλάνος οὗτος ὡς ἴδε τὸν Βασιλέα ὅρκοις συνδεθέντα, καὶ ἄκραν ἀγάπην ἀλλήλοις ἐκ συμφώνου σὺν τῷ κυρίῳ ἡμῶν μεταδώσαντας, ἀποδρὰς εἰς Βλαχίαν ἀφίκετο, συνδιάγων τῷ Μύλτζη τότε τῶν Μυσῶν ἀρχηγῷ ὄντι, υἱὸν αὐτὸν τοῦ Ἰλδερὴμ ἀποκαλοῦντι, καὶ βοήθειαν ἐξαιτούμενος. κἀκεῖθεν λαβὼν ὀλίγην τινὰ βοήθειαν, καὶ εἰς τὰ Θετταλίας μέρη λῃστρικῶς εἰσελθὼν, τοὺς συναντῶντας ἐμπόρους καὶ οἰωνδήτινας ἐξεγύμνου, καλῶν ἑαυτὸν υἱὸν τοῦ Ἰλτρὴμ, καὶ τοῦ Ὀθμὰν ἀπόγονον. ὅθεν καὶ ὁ κύριος ἡμῶν, ὡς ὑμεῖς οἴδατε, στρατὸν ἀξιόλογον πέμψας κατ᾽ αὐτοῦ, ἐγγύς που τῆς Θεσσαλονίκης συνάψαντες πόλεμον, μὴ δυνηθεὶς ἀντιστῆναι ὁ ἀλάστωρ, φυγὰς εἰς τὴν Θεσσαλονίκην εἴσεισι. τότε καὶ ὁ Τζινεὴτ συνδιάγων τῷ ἡμετέρῳ κυρίῳ, καὶ γὰρ ἦν ἀποστατήσας τὸ πρότερον, αὐθεντεύων τὴν ἐπαρχίαν Ἀσίας, καὶ καθολικὸν ἡγεμόνα Σμύρνης τε καὶ Ἐφέσου ἀποκαλῶν ἑαυτόν· καὶ σὺν πολλῇ δυνάμει τοῦτον ἐξελάσας ἐκεῖθεν, σὺν αὐτῷ διάγειν ἐκέλευσεν ὁ ἡμέτερος κύριος εἰς τὰ τῆς δύσεως μέρη· τότε καὶ αὐτὸς καιροῦ δραξάμενος εἰσῆλθεν ἐν τῇ Θεσσαλονίκῃ φυγὰς, καὶ τῷ Μουσταφᾷ δι᾽ αἰτίαν ῥηθεῖσαν συνήρθη. ὡς δ᾽ οὖν οἱ τῆς πόλεως ἀνενδότως ἱστάμενοι, καὶ μὴ προδοῦναι βουληθέντες τὸν ἀπατεῶνα τοῦτον, ὁ ἡμέτερος δεσπότης γέγραφε πρὸς τὸν βασιλέα αὐτῶν αὐτὸν, καὶ παραδειγματικῶς ἐμήνυε λέγων. Ἐξελθὼν τοῦ θηρεῦσαι θήραν, ἐκλαμπρότατε βασιλεῦ, καὶ λύκου κυνηγετουμένου, καὶ δὴ ἐν χερσὶ τὴν ἄγραν ἔχων, εἰσπηδήσας ἐσώθη ἐν τῇ μάνδρᾳ τῆς σῆς Βασιλείας. ἀξιῶ οὖν τοῦ δοθῆναι τὸ ἐμὸν θήραμα· ἵνα μὴ τῶν σῶν, καὶ τῶν ἐμῶν θρεμμάτων λυμαντὴρ γένηται καιροῦ προϊόντος. Ὁ δὲ Βασιλεὺς ἀντέγραψε πρὸς αὐτόν· Εἰ καὶ λύκος τὸ διασωθὲν ἐν τῇ ἐμῇ μάνδρᾳ, ἀλλ᾽ ἐγὼ τὸ γαληνὸν ἔχων καὶ φιλάνθρωπον, καὶ τὸ μὴ χαίρειν ἐπ᾽ ἀλλοτρίοις φόνοις, σωτὴρ ἔσομαι τοῦ λύκου, καὶ οὐ προδότης. ἀρκέσει σοι τοῦ χαλινῶσαι τοῦτον ἐγὼ, καὶ ἐν χερσὶν ἔχειν, καὶ μὴ ἐᾶσαι προβαίνειν μήτε φθείρειν τι τῶν σῶν. ἀλλ᾽ ἐν ἀδείᾳ καὶ ἀφθονίᾳ ἡγεμονεύειν σε ἄχρις ὅρου ζωῆς σου, φυλαττομένων τῶν ἐν ὅρκοις γενομένων ἡμετέρων συνθηκῶν. Ἔκτοτε κατεῖχε τοῦτον ὁ Βασιλεὺς ἐν τῇ Κωνσταντινουπόλει σὺν τῷ Τζινεὴτ· καὶ μετὰ χρόνους τέσσαρας ἔπεμψεν αὐτὸν ἐν τῇ νήσῳ Λήμνῳ, κἀκεῖ διῆγεν ἄχρι τοῦ νῦν. νῦν δ᾽ ὁ Βασιλεὺς μὴ ἔχων τί, τι καὶ δράσειεν, ὁρῶν μὴ εἰς τέλος τὸ αὐτοῦ βούλημα ἐξερχόμενον· καὶ γὰρ ἐβούλετο τοὺς δύο παῖδας, τοὺς νηπίους, ἐν ταῖς χερσὶν ἔχειν, καὶ δι᾽ ἐκείνων ὑμᾶς ἐπτοῆσθαι τῷ αὐτοῦ κράτει. ἤδη τὸν ἀποστάτην τοῦτον σὺν τῷ Μουσταφᾷ, ὡς ἀγρίους κύνας καθ᾽ ἡμῶν λυττῶντας, ἀφῆκεν· ἡμεῖς δ᾽ οὐχ ὡς δορκάδες ἢ πτῶκες εἰς τοὺς ὑπεναντίους φανούμεθα, ἀλλ᾽ ὡς λέοντες ἐπεισπηδήσομεν. καὶ ἀμεταστρεπτὶ τὰ δόρατα εἰς αὐτοὺς στήσομεν εὐστόχως· καὶ γὰρ οἱ ἡμέτεροι πλείονες. Ὁρᾶτε τοίνυν τοὺς σὺν αὐτῷ διαριθμήτους ὄντας, καὶ ἔτι ἐν τῷ

A *in orientem transvehere minime poterunt. Romæi vero nulla arcente Turcos captivos trajicient. Jamque res vestræ, Romæis se in libertatem asserentibus, labare incipient. Vos hac de causa hortor, ut huic falso ac commentitio Mustaphæ, & cum eo sentientibus Romæis opemque ferentibus egregie obsistatis. Neque equidem sanguine Othmanico satus est impius iste fidei nostræ infestus. Ille enim Mustaphas Domini nostri frater, quod ab eo olim audivi, infans admodum fato cessit. Hunc equidem ex infima Turcorum plebe unum Imp. Manuel Mosem viventem veritus, Ilrim Bajazitis filium jactabat. Deinde impostor iste, ut vidit Imperatorem jurejurando teneri, amicitiam, concordiamque inter ipsum Dominumque nostrum stabilitam esse, aufugit in Vualachiam, ibique cum* B *Myltza Mysorum tunc temporis principe moratus est, seque filium Bajazitis Ilrim jactans auxilium rogabat. quod ubi obtinuit, inops equidem parvique momenti, Thessaliam invadit ac latrocinia exercet: obvios mercatores caterosque spoliat: Ilrim Bajazitis filium se prædicat, exque Othmani prosapia editum. Quod ob flagitium Dominus noster, ut probe scitis, exercitum justum adversus eum expedivit; & inito prope Thessalonicam prælio, cum non posset scelestus ille impetum sustinere, fuga in urbem istam pervenit. Tunc temporis etiam Cineites domino nostro militabat; qui quidem, Asiæ dum præest, Ducis generalis Smyrnæ & Ephesi titulo sibi arrogato antea defecerat. Inde valido exercitu a Rege nostro pulsus,* C *jussusq; eum comitari & in occidentalibus provinciis degere. Iste ergo occasionem nactus Thessalonicam aufugit, & hac de causa Mustaphæ se conjunxit. Cumque cives in eo proposito, non prodendi hunc impostorem, pertinaciter starent, dominus noster ad ipsorum Imperatorem scripsit, taliaque ei clare significat. Cum exivissem ad venationem, Imperator illustrissime, ut feram comprehenderem, jamque lupum abactum prædam, quam sectabar, in manibus haberem, imperii tui mandras lupus iste ingressus est, salvusque evasit. peto itaque prædam meam mihi reddi, ne tuis ac meis pecudibus temporis lapsu perniciem afferat. Istis Imperator respondit. Etsi lupus sit, qui salutem sibi in mea mandra quæsivit, mansuetæ tamen ac* D *humanæ sum indolis; neque ex aliena cæde voluptatem capio. lupi custos ero, non proditor. Hoc contentus sis, ut eum frænorum cohibeam meæ potestati suppositum: eique non permittam procurrere, & aliquid quod tuum sit devastare. Securus ergo omnibusque ubertim abundans regna dum vixeris, fœderibusque sta, quæ jurati ambo pepigimus. Deheinc hunc Mustapham ac Cineitem Constantinopoli detinuit, & post quadriennium in Lemnum insulam illum transmisit, ubi hactenus degerat. Nunc cum nocere vobis Imperator haud possit, intelligatque consilia sua, exitum non sortiri: (volebat quippe duos infantes regios penes se habere, suisque viribus terrorem nobis per ipsos injicere) transfugam illum Cineitem ac Mustapham, ceu canes feros & rabie citatos, in nos immisit. Ad* E *caprarum quidem modum aut leporum contra hostes nos non præbeamus; quinetiam tamquam leones insiliamus: hastasque nostras, quæ flecti nesciunt, in eos directe quatiamus, animum addat nostrorum major numerus, inferiorque eorum, qui ipsi militant. quos cernitis panem Regis mei in dentium interstitiis adhuc ferre. eos adjutores mox habebimus in pecude aberrante retrahenda. hoc unum nobis sat erit, si prælium prompti atque alacres*

Mustaphas Dusme seu suppositicius.

Edit. Paris. pag. 82.

pag. 83.

Acie instructa ad pugnam se parant Ilderimes & Mustaphas.

inierimus. His dictis aciem disponit agminibus ex arte locatis, & classicum cani jubet. Ex altera quoque parte Mustaphas præsente Cineite animos suorum confirmat: juratus iis pollicetur, si imperium adeptus fuerit, rerum omnium dominos æque, ac se fore; honores ac dona quamplurima a se reportaturos; amplam mercedem infimis ostentans, proceribus immensa supra modum præmia promittens. Ubi etiam vidit Mustaphas bellum alas jam quatere (id est, ad belli discrimen ventum esse) hostesque hastis iocussis, ac jaculis intortis impressionem fecisse, tradita Cineiti, viro inter cæteros bellicosissimo, præliis etiam adsueto, ineundæ pugnæ cura, ipse in edito loco stans, contenta voce sic infit: *Viri fratres, neque enim servos appello, quo impietas ista tradit? servus domino bellum infert? isque genere Albanus? Barbaræ gentis proles, mihi? qui vester sum dominus, & Ilderim Bajazitis filius. Enimvero si superesset frater meus, colorem aliquem hæc impietas præ se ferret, utpote vitam suam pro illo profusurus esset iste, cujus cervicibus cruentum fatum impendet. Nunc vero fratre meo mortuo, quis ex eo prognatus hæres? neque, si supersit, in Thracia juris quicquam habet. Longe lateque in oriente imperat. Haud etiam paternas ipsius opes invado, patris mei ditiones solummodo occupo. Quod si negaverit ullus me Ilderim filium esse, vi me verum clare approbabo. Quod si etiam bello decernendum, accedat fratris mei filius, non vero mancipium meum, quicum vapulat. Cui porro fortuna potiorem partem attribuerit, ille regnet. Vos demiror, qui in patris mei exercitibus virtutem militarem vestram omnibus probaveritis, qui probe etiam nostis hujus triobolaris jactantiam, superbiam ac supercilium. Cui si prospere cesserit hujus pugnæ exitus, quis adire ipsum verbis audebit? Vos propterea hortor: ne belli gerendi animo potius, quam me adjuvandi estote, & cum æquanimitate procedite. nullis præmiis aut mercede, testis Deus adest, vos frustrabor, quinetiam amplioribus vos honorabo.*

Cineiti prælii ineundi cura tradita.

Mustaphæ ad Murusios oratio.

Defectio, totius exercitus Bajazitis ad Mustapham.

Ubi finem dicendi fecit, subito, qui Bajazitis exercitus dextro cornu præerat, Satrapa a suis digressus, quasi cum Cineite manus conserturus, quique ipsius latera cingebant, Mustaphæ se stiterant, & ab equis cum desiluissent, cuncti, quam servi dominis, venerationem exhibuerunt. Confestimque, qui sinistrum aciei tegebat cornu, pariter transfugit. Peregrinam quamdam mutationem videre erat, Mustapham temporis momento plumis ornatum, similemque alte volanti aquilæ; Bajazitem vero veluti monedulam plumis spoliatum, & famulis solis eum comitantibus a cæteris desertum. Cumque intelligeret raro admodum domino superiorem servum evadere; videretque fortunam filum in partes sibi contrarias ducere, obsequii promptitudine salutem quærit: & ex equo desiliens fraterque ejus Hamza, servili more ac gestu, Mustaphæ obviam procedunt, salutantque. Defuncti igitur prælio Mustaphæ milites, Duci suo ecotoria decora ac convenientia pangunt, eique ex equo sublevato, ut totius Romanæ ditionis Imperatori acclamarunt. Bajaziti vero procul sedere jusso, satellites custodiæ causa appositi sunt. Accedens deinde Cineites, cum videret eum aura vitali adhuc frui, intelligeretque intra casses irretitum, præclusis

Edit. Paris. pag. 84.

Bajazetes & Hamza frater ejus ab omnibus deserti Mustaphæ se permittunt.

A ῥαγμάσι τῶν ὀδόντων τὸν ἄρτον τοῦ κυρίου μου φέροντας. καὶ αὐτοὶ σὺν ὑμῖν αὐθωρὸν ἔσονται), αὐτὸν ὡς πεπλανημένον πρόβατον, καταλείψοντες· μόνον οἱ προθύμως τὴν ἀρχὴν τῆς εἰσβολῆς τοῦ πολέμου ὑποσταλθῶμεν. Ταῦτ' εἰπὼν καὶ τὰς φάλαγγας κατὰ τάξιν ἁρμοδίως συντάξας, τὸ ἐνυάλιον ἤχουσαν· Ὁ δὲ Μουσταφᾶς σὺν τῷ Τζινεῒτ καὶ αὐτὸς τοὺς, οὓς εἶχον, ἐγκαρδίως στερεώσας, καὶ ὀμόσας, ὡς εἰ τὴν ἀρχὴν ἐπιλάβοι, πάντων πραγμάτων ὡς αὐτὸς, καὶ αὐτοὶ ἔσονται κύριοι, καὶ τιμῶν καὶ δώρων ὅτι καὶ πλείστων ἀπολαύσονται παρ' αὐτοῦ. καὶ τοῖς μικροῖς μεγάλας, καὶ τοῖς μεγάλοις ὑπερμεγέθεις τάξας τὰς ἀμοιβὰς, καὶ τὰς χάριτας· Καὶ δὴ ὁρῶν ὁ Μουσταφᾶς ἤδη σαλευόμενον τὸ τοῦ πολέμου πτερόν· καὶ οἱ ὑπεναντίοι προσώρμησαν ἐπι-

B σείοντες τὰ δόρατα, καὶ τοξοβολισμοὺς οἱ τοξόται προπέμποντες, στὰς ἐφ' ὑψηλοῦ τόπου τὸν πόλεμον καταλιπὼν τῷ Τζινεῒτ. καὶ γὰρ ἦν ὁ ἀνὴρ ὡς οὐδεὶς τῶν ἄλλων ἀνδρεῖος, καὶ τοῖς πολέμοις συνήθης, ἔκραζε μεγαλοφώνως· Ἄνδρες ἀδελφοὶ, οὐ γὰρ οὐ δούλους καλῶ, εἰς τί ἡ ἀσέβεια αὕτη; δοῦλος κατὰ δεσπότου; καὶ ταῦτα ἐξ Ἀλβανῶν; γένος βάρβαρον πρὸς ἐμὲ τὸν υἱὸν τοῦ Ἰλδερὶμ, τὸν κύριον ὑμῶν; καὶ γὰρ εἰ ἔζη ὁ ἐμὸς ἀδελφὸς, εἶχεν ἂν λόγον ἡ ἀσέβεια αὕτη, ὡς ὑπὲρ ἐκείνου τὴν ζωὴν θύσειν μέλλων ὁ βοηθὸς αὐτῆς ἐν ὀλίγῳ μέλλων γενέσθαι οὗτος· νῦν δὲ θανόντος ἐκείνου, τίς κληρονόμος αὐτοῦ; ὁ υἱός; ἀλλ' οὐκ ἔχει χώραν ἐν Θράκῃ· ἄρχει γὰρ αὐτὸς τὰ τῆς ἑῴας· καὶ γὰρ οὐ τοῖς πράγμασιν ἐπεμβαίνω τοῖς πατρικοῖς αὐτοῦ, ἀλλὰ τοῖς τοῦ ἐμοῦ πα-

C τρός· εἰ γὰρ οὐκ εἰμὶ υἱὸς λέγει τις τοῦ Ἰλδερὶμ, ἀλλ' ἐγὼ τὴν ἀλήθειαν φανερὰν ἐπιδείξω· εἰ δὲ καὶ πολεμεῖν με θέλει, οὐχ ὁ ἐμὸς δοῦλος, ἀλλ' ὁ ἐμὸς ἀνεψιὸς ἐλθέτω· καὶ οὗ τινι νέμει τὸ κράτος ἡ τύχη, καὶ κρατείτω ἐκεῖνος. Θαυμάζω δὲ καὶ ὑμᾶς τοὺς εὐδοκιμήσαντας ἐν ταῖς στρατείαις τοῦ ἐμοῦ πατρὸς, καὶ ἐπισταμένους τὴν ἀλαζονείαν αὐτοῦ, καὶ τὸν τῦφον καὶ τὴν ὑπεροψίαν τοῦ τριωβολιμαίου τούτου· καὶ εἰ δυστυχήσειεν τῇ παρούσῃ συμπλοκῇ, τίς ἔσται ὃς δυνήσεται συνάραι λόγον μετ' αὐτοῦ; Διὸ παρακαλῶ μὴ γίνεσθε πολεμισταὶ, ἀλλὰ μᾶλλον συμμαχήσατέ μοι, καὶ μετ' ἐπιεικείας προσέλθετε· καὶ τῶν ὑμετέρων, μάρτυς Θεὸς, οὐ στερήσω τε· ἀλλὰ μᾶλλον προσθήσω, καὶ ἔτι πλείονα αὐξήσω. Τούτων οὕτω λεχθέντων, αἴφνης ὁ τὸ δεξιὸν κέ-

D ρας ὑπερασπίζων σατράπης ἀποσπασθεὶς, ὡς δῆθεν συμπλακῆναι θέλων τῷ Τζινεῒτ, σὺν τοῖς σὺν αὐτῷ, ἦλθον ἐνώπιον τοῦ Μουσταφᾶ, καὶ ἀποβάντες τῶν ἵππων ἅπαντες, τὴν δουλικὴν προσκύνησιν ἀπένειμαν αὐτῷ. μετ' οὐ πολὺ δὲ καὶ τὸ ἀριστερὸν κέρας κρατῶν, κἀκεῖνος ἔπραττε τὰ ὅμοια. καὶ ἦν ἰδεῖν ξένην ἀλλοίωσιν, τὸν Μουσταφᾶν ὡς ἐν ἀκαρεῖ πτερωθέντα, καὶ ὡς ἀετὸν ὑψιπετοῦντα παρόμοιον· τὸν δὲ Παγιαζὴτ ὡς κολοιὸν κατεψιλωθέντα, καὶ ἔρημον μόνον μετὰ τῶν ἰδίων ἰσάμων. τότε καὶ νοῦν λαβὼν ὡς σπανίως ὑπερέχουσι δοῦλος δεσπότου· καὶ ὁρῶν ὡς ἤδη τὰ τῆς τύχης νήματα ἀντιστρόφως κλώθονται, πραγματεύεται τὴν αὐτοῦ σωτηρίαν ἐν τάχει. καὶ καταβὰς τοῦ ἵππου σὺν τῷ ἀδελφῷ αὐτοῦ Χαμζᾷ, δουλικῶς καὶ αὐ-

E τοὶ προσυπαντοῦσι, καὶ προσκυνοῦσιν αὐτῷ. Τότε οἱ τοῦ Μουσταφᾶ τὸν πόλεμον λύσαντες, καὶ στίχους ἡγεμόνι πρέποντας πήξαντες, ἀποβιβάσαντες τοῦ ἵππου τὸν Μουσταφᾶν, ὡς ἀρχηγὸν αὐτὸν, καὶ ἡγεμόνα πάσης γῆς Ῥωμαίων εὐφήμουν· τῷ δὲ Παγιαζὴτ * κελεύσαντι καθεσθῆναι μακρόθεν, φύλακας ἐπέτρεψε τοῦ φυλάττειν αὐτόν. ἐλθὼν δὲ ὁ Τζινεῒτ, καὶ ἰδὼν αὐτὸν ἔτι ζῶντα· καὶ γὰρ ἦν κρατῶν τὰς ἄκρας, τοῦ μὴ ἐκδρᾶναι τὸν ἀντικείμενον· καὶ μα-

* κελεύσαντες

θῶν ὅτι ἐν ἄρχουσι ἦν, λέγει τῷ Μουσταφᾷ· Ἕως πότε ὁ ἀνόσιος οὗτος τὸν ἥλιον ὁρᾷ, ὁ μηδὲ ψηλαφητοῦ σκότους ὢν ἄξιος; Ὁ δὲ Μουσταφᾶς, ὡς βουλητόν ἐστί σοι, ποίει, εἰπών· κελεύει μιαρὸν ἑλκύσαντες ἔξω τῆς παρεμβολῆς, τοῦ ἀθλίου τὴν κεφαλὴν ἀποτμηθῆναι. ὃ καὶ γέγονεν, ὁρῶντος καὶ αὐτοῦ τὴν καρατόμησιν, καὶ λέγων· εἶδες, ὦ κάκιστε, θερίζειν ὄρχεις; καὶ γὰρ ἔτυχε κοπῆναι τοὺς ὄρχεις τοῦ Αὐδελὰ γαμβροῦ τοῦ Τζινεΐτ, προλαβὼν τοῦ Παγιαζὴτ τοῦτο κελεύσαντος. τότε ἤγαγον καὶ τὸν Χαμζὰν τὸν ἀδελφὸν αὐτοῦ, θέλοντες κἀκεῖνον καρατομῆσαι· ὁ δὲ Τζινεῒτ ἐλεήσας αὐτὸν νέον ὄντα· ἄφετε αὐτόν, εἶπεν, οὐ γάρ ἐστιν ὡς ἐκεῖνος ὁ βιοθανὴς καὶ ἀπάνθρωπος ὤν· οὐδὲ ἐκ τῶν χειρῶν τούτου ἐξέρχεταί τι τοῦ πρᾶξαι κακόν· ἔστω οὖν ἐμὸς ἀπελεύθερος· οὐκ οἶδεν ὁ δύστηνος Τζινεῒτ, ὅτι τὸν θανατηφόρον αὐτοῦ ζωπυροῖ, καὶ ὃν ἐλεεῖ αὐτός, ἀνηλεῶς μέλλει τὴν ζωὴν αὐτοῦ ὡς ἐν ὀλίγῳ λαβεῖν. τότε ὁ νέος ἀρχηγὸς Μουσταφᾶς μετὰ παρρησίας καὶ θάρσους, ἐπὶ τὴν Ἀδριανούπολιν εἴσεισι σὺν παντὶ τῷ στρατῷ. καὶ μετὰ χαρᾶς καὶ παρρησίας πολλῆς ἐξῆλθον οἱ πολῖται εἰς ἀπάντησιν αὐτοῦ, εὐφημοῦντες ἱλαρᾷ τῇ φωνῇ· οἱ δὲ τῆς Καλλιουπόλεως μαθόντες τὸ γεγονός, καὶ ἀπελπίσαντες οἱ τοῦ φρουρίου, μεθ' ὅρκων καὶ συνθηκῶν, παρέδωκαν τὸ φρούριον. ὁ δὲ Λεοντάριος ἐλπίζων κατὰ τὰς συνθήκας τὰς ἐνωμότους, μετὰ τὸ ἐξελθεῖν ἐκ τοῦ φρουρίου τοὺς φύλακας καὶ πᾶσαν τὴν παρασκευήν, ἣν εἶχον ἔνδον, κατὰ τὰς πίστεις ἃς ἐγένοντο μετ' αὐτῶν, αὐτὸς ἐκ τῶν τριηρῶν ἐξαγαγὼν θώρακας, περικεφαλαίας, δόρυ, τζάγρας, καὶ πᾶν εἶδος ἁρμάτων, ἤρξατο εἰσάγειν ἐν τῷ φρουρίῳ. φθάσας οὖν ὁ Τζινεῒτ, καὶ ἰδὼν τὸ γενόμενον, ὁρῶν δὲ καὶ τὸν δῆμον τῶν Τούρκων θορυβούμενον καὶ ταραχθέντα, ἐπὶ τῇ ἀνελπίστῳ καὶ ἀπροσδοκήτῳ μεταβολῇ, ἤρξατο σκώπτειν, καὶ σκληρολογεῖν τὸν Δημήτριον, λέγων· Ὡς ἐμοὶ δοκεῖ, ὦ στρατηγὲ Δημήτριε, τὸν ἀγῶνα, ὃν ἠγωνισάμεθα, καὶ τοὺς κινδύνους, οὓς ὑπέστημεν, ἕνεκα τοῦ γένους τοῦ σοῦ, καὶ τῆς τῶν Ῥωμαίων βασιλείας ὑπολαμβάνεις γεγονέναι; ἀλλ' οὐχ οὕτως ἐστί· τὸ γενόμενον εἰς ἡμᾶς ἐγκλεισθέντας ὥστε ἀπολυθῆναι, καὶ δούλους ὄντας δεσπότας γενέσθαι, οὐχ ὑμᾶς τοὺς Ῥωμαίους τῆς δωρεᾶς ταύτης αἰτίους κρίνομεν, ἀλλὰ τῷ ἐπουρανίῳ Θεῷ. ὑμᾶς δὲ τοὺς συμπαθήσαντας, καὶ κοπιάσαντας ἐν τῇ μεταθέσει ταύτῃ, Θεοῦ θελήσει κεκοπιάκατε ὀρθῶς, ὑπολαμβάνομεν. ἕνεκα οὖν τῶν πάντων, καὶ τῶν ἀμφοτέρων τῶν καμάτων, τῷ μόνῳ Θεῷ προσφέρομεν εὐχαριστίας· ὑμᾶς δὲ μετὰ δώρων ἱκανῶν, καὶ φιλίας, καὶ ταύτης προσκαίρου, παραπέμψαι· τὸ δὲ πόλεις καὶ φρούρια λαβεῖν παρ' ἡμῶν, ἀρκεῖ σοι σῶον πεμφθῆναι ἐν Κωνσταντίνου, ἀναμιμνήσκοντες τῶν Λημνίων κακῶν, καὶ τῶν ἐν τῇ μονῇ τῆς Παμμακαρίστου τῶν καλογήρων ὀνειδισμῶν· ἔχεις μισθὸν χάριν σῶσαι τὴν κεφαλήν, τὸ τοῦ λύκου φθέγξομαι. ἀπὸ κώπας, ἔχεις τὸν Εὖρον πνέοντα γλυκερὸν ἄνεμον· φθάνε τὴν Κωνσταντίνου, ἄσπασαι τοὺς βασιλεῖς ἀφ' ἡμῶν· λέγε πῶς Θεὸς τὴν αὐθεντίαν ἡμῖν ἐδωρήσατο. ἔστω μεθ' ἡμῶν ἐν εἰρήνῃ λέγων, καὶ ἡμεῖς μετ' αὐτῶν, ὀπίσω ζήτησις Καλλιουπόλεως· Ταῦτα τὸν στρατηγὸν τὰ ῥήματα οὐκ ὀλίγον ἐτάραξεν· καὶ θυμωθείς, οὐκ οἶδας, ἔφη, τὸν ἐμὸν βασιλέα ποίας συνέσεως, καὶ γνώσεως, καὶ ποίας ἄλλης μεγαλοψυχίας ἐστί;

A omnibus effugiis, teneri, ejusmodi orationem ad Mustapham habuit: *Quousque impius iste Solem videbit, qui nec tenebris palpabilibus etiam dignus?* Cui respondit Mustaphas, *consilio tuo utere*. Jubet itaque extra castra non procul tracto caput misero amputari. quod illico factum ipso spectante, & talia verba proferente: *Nosti possime testiculos demetere?* Cineitis etenim genero Andulæ testiculi exsecti fuerant Bajazitis jussu. Duxerunt & hujus fratrem Hamzam capite quoque plecturi; at Cineites ejus misertus quod juvenis esset, eum dimitti jussit; *quippe*, dixit, *non est ferus & inhumanus ut ille, quem morte violenta affecimus, nullum adhuc scelus hic patravit, sit itaque libertus meus*. Non intellexit in-
B felix Cineites se fovere eum, qui perniciem ipsi allaturus erat: quique brevi vitam crudeliter erepturus erat illi, qui erga se misericordia commotus fuerat. Novus itaque Imperator Mustaphas liber factus ac audacior Adrianopolim cum universis copiis intrat: in cujus occursum egressi sunt multa cum fiducia & lætitia cives, hilari voce ipsi acclamantes. Præsidiarii autem Callipoleos custodiæ impositi ubi, quæ gesta erant, rescivere, spe omni abjecta, pacto inito ac jurejurando addito sese dediderant. Demetrius Leontarius igitur, qui speraverat urbe se potiturum (sic enim inter eos convenerat) ubi præsidium decessisset, asportavissetque secum omnia vasa & sarcinas, quas in urbe miles habebat, hac siquidem condi-
C tione se dediderant; exportari thoraces ex triremibus curat, cassidesque & galeas, hastas, zagias, id est jacula, & omne genus armorum in arcem importari cœptum. At Cineites accurrens quod factum erat cernit, Turcorum multitudinem turbatam ac tumultuantem, ob mutationem insperatam ac inexpectatam: contumeliosis ideo asperisque verbis Demetrium sic affatus est. *Imperator Demetri, ut mihi videtur, existimas nos, nationi tuæ gratificaturos Imperioque Romæo, prælium obiisse & pericula adiisse? aliter equidem se res habet. Quod nobis inclusis accidit in libertatem asseri, ex servis rerum dominos fieri, tantum beneficium Deo, qui cælestia habitat, acceptum ferimus; nec auctores illius vos Romæos judicamus.*
D *Existimamus profecto opera vestra prospere nos usos esse, qui, societatis nobiscum laboribus, belli ærumnas in hac rerum conversione tolerastis. Soli itaque Deo gratias agimus, qui a laboribus & casibus præteritis integros servavit; vosque cum donis, quanta vester capit status, & amicitiæ vobis opportunæ pignoribus dimittimus. Urbes vero & castella nos vobis tradere absit. Tibi a Demetri salvo satis sit Constantinopolim repetere. Memoria animis adhuc hæret malorum, quæ in Lemno passi sumus: quamque contumeliose a monachis habiti in Beatissimæ monasterio. Caput integrum mercedis nomine domum refers, Lupi ac Ciconiæ apologo utar. Remos impelle, lenis ac sudus Eurus spirat. Constantinopolim proficiscere, Imperatores no-*
E *mine nostro saluta, & iis annuncia, quomodo Deus dominationem nobis concesserit. Inter Imperatorem nosque pax integra maneat atque tranquillitas, nec aliqua de Callipoli quæstio fiat.* Tali oratione non mediocriter turbatus est Dux exercitus Demetrius, ad iramque versus ait: *An, non tibi cognitus est Imperator meus, quamque prudens, rerum peritus ac magnanimus sit?*

Bajazites Cineitis jubente capite plectitur.

Hamza salvus evadit.

Mustaphas Adrianopolim ingreditur.

Callipolis Leontario dedita.

Edit. Paris. pag. 85.

Cineitis mendax & insolens ad Leontarium oratio.

Lupi & Ciconiæ Apologus.

Demetr. Leontarii ad Cineitem responsio.

ὅτε ἡμέτεροι εἰσίν, εἴτε ἵπποι, ἢ ἄλλα τινὰ τῶν ἀχθοφόρων ζώων, ἃ ἐν τῇ δουλείᾳ τοῦ κάστρου τυγχάνουσιν, ἀλλ᾽ ἐᾶν αὐτούς. καὶ ὁπόταν οἱ Ῥωμαῖοι θυμωθέντες ἀντιστήσονται τοῖς Τούρκοις, τότε καὶ ὑμεῖς σὺν τοῖς Τούρκοις ἀντίστητε. Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις, ὁ υἱὸς τοῦ Σπενδιάρ, ὁ ἐπὶ θυγατρὶ γαμβρὸς τοῦ Μουρὰτ ἀδελφῆς τοῦ Μεχεμέτ, οὗ ὁ λόγος προλαβὼν ἐμνημόνευσε, ἐκ τοῦ Ἀδραμυττίου, κατὰ τὸ κοινὸν θέσπισμα, καὶ οὗτος σὺν τοῖς ὑπ᾽ αὐτὸν ἐκστρατεύσας, ἀπῄει ἐν τῷ ἡγεμόνι ὑπουργῆσαι καὶ αὐτὸς τὴν κοινὴν ἀγγαρείαν ἐν τῷ κάστρῳ· καὶ δὴ πλησίον πεζεύσας τοῦ πύργου, τοῦ λεγομένου Ἐπιβάταις, ἀπολύσαντες τοὺς ἵππους, καὶ τὰ σκευοφόρα ζῶα ἐν τοῖς καρποῖς τῶν Ῥωμαίων, ἐλυμήναντο τοὺς στάχυας καὶ τὴν ἄλλην παντοίαν χλόην. ὡς δὲ τῶν Ῥωμαίων ὁρῶν τὴν γενομένην ζημίαν ἐν τοῖς πολυκόποις αὐτοῦ γεωργήμασι, δραμὼν ἐδίωξε τοὺς ἵππους ἐκ τοῦ ἀγροῦ. εἷς δὲ τῶν ἱπποκόμων Τοῦρκος φθάσας παίει τὸν Ῥωμαῖον. ἄλλος δὲ προσγενὴς τοῦ τυφθέντος ἔδραμε, καὶ μετ᾽ αὐτὸν ἕτερος, ὁμοίως καὶ οἱ Τοῦρκοι ξιφήρεις. συμπλακέντες οὖν ἀλλήλοις ἐσφάγησαν ἐκ τῶν Τούρκων, ὁμοίως καὶ ἐκ τῶν Ῥωμαίων. τότε ὁ Καγιάπεης, οὕτω γὰρ ἦν αὐτῷ ὄνομα, ἐπὶ τὴν αὔριον φθάσας εἰς τὸν ἡγεμόνα, καὶ προσκυνήσας αὐτὸν κατὰ τὸ ἔθος, ἀπήγγειλε πάντα τὰ γενόμενα ἐν τοῖς Ἐπιβάταις· καὶ αὐτὸς μὴ δεηθεὶς ἑτέρας ἀγγελίας, ἢ παραστάσεως, προστάξας αὐτῷ τῷ Καγιάπεη τοῦ ἀπελθεῖν ἐν σπουδῇ σὺν τοῖς αὐτοῦ στρατιώταις, καὶ πατάξαι τούτους ἐν μαχαίρᾳ πάντας τῆς χώρας ἐκείνης, ὃ καὶ γέγονεν· ἐλθὼν γὰρ ἐξαίφνης πρωΐ, καὶ οἱ γεωργοὶ ἐξελθόντες εἰς τοὺς ἀγροὺς τοῦ θερίζειν, ἐπεισπεσόντες οἱ Τοῦρκοι πάντας κατέσφαξαν τὸν ἀριθμὸν ὡς τεσσαράκοντα. Αὕτη αἰτία τῆς μάχης καὶ ἀφανισμὸς τῶν Ῥωμαίων. Τότε ὁ βασιλεὺς ἀκούσας τὸ γεγονὸς ἔκλεισε τὰς θύρας τῆς πόλεως, καὶ ὅσους ἔτυχεν εὑρὼν ἐντὸς Τούρκους πάντας δεσμεύσας ἐν φρουρᾷ ἔθετο. καὶ μεθ᾽ ἡμέρας τρεῖς πάλιν ἀπέλυσε. τί γὰρ εἶχε τοῦ δρᾷν; ἔτι ἐν τοῖς εὑρεθεῖσι Τούρκοις ὑπῆρχον ἐκ τῶν παλατίων τοῦ ἡγεμόνος εὐνουχόπουλοι, οἳ καὶ παρασταθέντες τῷ βασιλεῖ εἶπον· Εἰ μὲν ἀπολύσεις ἡμᾶς, ὦ βασιλεῦ, πρὸ τοῦ τὸν ἥλιον κλῖναι πρὸς δυσμάς, χάριν εἴσομέν σοι, εἰ δὲ μετὰ δύσιν ἡλίου μὴ εὑρεθέντες ἐνώπιον τοῦ ἡγεμόνος, γνῶθι τὸ μετὰ ταῦτα ἀπολυθῆναι οὐκ ἔσται ἡμῖν πρόσχαρι, ἀλλὰ καὶ λίαν θανάσιμον. Διὸ ποίησον εἰς ἡμᾶς ἔλεος, καὶ ἀπόλυσον τῇ ὥρᾳ ταύτῃ, εἰ δ᾽ οὐ μή, κέλευσον ἀποτμηθῆναι τὰς κεφαλάς· κρεῖττον γὰρ παρ᾽ ὑμῶν τεθνάναι, ἢ παρὰ τοῦ κοινοῦ τῆς οἰκουμένης ὀλέθρου. Ταῦτα ἀκούσας ὁ βασιλεὺς ἐκάμφθη τῇ γνώμῃ, καὶ ἀπέλυσεν αὐτοὺς τῇ ὥρᾳ ἐκείνῃ. καὶ στείλας ἀποκρισιαρίους πρὸς τὸν τύραννον εἶπεν· Ἐπεὶ τὸ τῆς μάχης ᾑρετίσω, καὶ οὔτε ὅρκοις, οὔτε κολακείαις πεισθῆναι πεῖσαί σε ἔχω, ποίει ὃ βούλει. ἐγὼ γὰρ πρὸς τὸν Θεὸν καταφεύγω, καὶ εἰ θέλημα αὐτοῦ ἐστι τοῦ δοῦναι καὶ τὴν πόλιν ταύτην εἰς χεῖράς σου, τίς ὁ ἀντειπεῖν δυνάμενος; εἰ δὲ πάλιν ἐμφυτεύσει εἰρήνην ἐν τῇ καρδίᾳ σου, καὶ τοῦτο ἀσπασίως ἀποδέχομαι. πλὴν κατὰ τὸ παρὸν λάβε σου τὰς συνθήκας καὶ τοὺς ὅρκους· ἐγὼ ἀπὸ τοῦ νῦν τὰς πύλας τῆς πόλεως κεκλεισμένας ἔχων, καὶ τοὺς ἔνδον φυλάξω ὅσον ἡ δύναμις· σὺ δὲ καταδυναστεύων δυνάστευε, ἕως ὁ δίκαιος κριτὴς ἀποδώσει ἑκάστῳ ἐμοί τε, καὶ σοὶ τὴν δικαίαν ἀπόφασιν. Ταῦτα ἐνωτισθεὶς ὁ βάρβαρος, καὶ μηδὲ τὸ οἱονοῦν εἰς νοῦν μελετήσας ἀπολογίαν, παρευθὺς ἐκέλευσε διαλαλίαν

A inservientis, in agros immitterent vel agerent, ullatenus prohibeant illi, quibus damnum inferretur; sed eos libere pascere sinant. Si quando vero Romæi indignati sese opposuerint: tunc etiam Turcis se conjungere, simulque Romæis obsistere jussi sunt. Eodem etiam tempore Spendiaris filius, Moratis gener, Mehemetisque sororius nobis supra memoratus; principis edicto publico obtemperans, cum suis Adramyntio profectus, operam quoque suam in castri ædificatione principi navaturus venit. cumque prope turrim quæ Epibata dicitur accessisset, suorum, quod ducebat agmen, pedibus incedere cœpit; frenisque levatos equos, cæteraque jumenta, quæ impedimenta & sarcinas portabant, in Romæorum messes agunt, quibus spicas, ac cætera olera, & legumina vastantur & corrumpuntur. Agris ursa cultis & aratis damnum inferri. Romæus quidam animadvertens accurrit, & inde equos abegit. Turcorum agasonum unus Romæum percutit: percussi affines unus & alter accurrunt, ex adversa etiam parte Turci. Manibus itaque consertis ex Romæis Turcisque aliquot ceciderunt. Postridie, qui Kagia Begus vocabatur, principem adit, cui de more salutato cuncta, quæ in Epibatis contigerunt, narrat. Rem ab alio accuratius cognoscere aut de ea ulterius inquirere sprevit princeps: jubetque subito Kagiam Begum sua cohorte stipatum festinanter abire, omnesque vici illius incolas gladiis frustulatim conscindere: quod factum deinde. In messores enim, qui mane ad metendum exierant, ex improviso irruunt milites, & circiter quadraginta trucidant. Hæc fuit belli, quod consecutum est, gentisque Romæorum eversionis origo. His compertis portam urbis claudi jussit Imperator, & Turcos, quotquot in urbe reperti sunt, in carcerem detrusit, triduoque elapso dimisit. quid enim faceret? Inter eos, qui in urbe capti sunt, pueri Eunuchi e palatio principis aliquot reperti sunt, qui coram Imperatore adducti dixerunt: *Si nos, o Imperator, priusquam ad occasum Sol vergat, dimiseris, maximam tibi gratiam habebimus. Quod si post Solis occasum coram principe non adfuerimus, tibi persuasum cupimus, non ingratam tantum esse, sed etiam perniciem nobis dimissionem ac dimissionem allaturam, quapropter nostri misertus nunc liberos remitte. sin minus, capita nobis amputari impera. Satius enim nobis est manibus vestris confici, quam a communi orbis universi devastatore neci dedi.* Hisce flexus & emollitus Imperator liberos abire illico permisit. Tyranno deinde per legatos talia significat. *Quandoquidem bellum pace potius duxisti, neque te jurejurando aut obsequiis ad concordiam revocare possum, libidini tuæ indulge. Ad Deum ego confugio; cui si decretum ac propositum sit hanc urbem tibi tradere, quis obloqui vel resistere poterit? Si rursus in animum tuum pacis cogitationes instillaverit, id tibi libenter concedam. Veruntamen impræsentiarum pactis fœderibus, quibus te jurejurando adstrinxisti, solutus sis: portas urbis deinceps occlusas tenebo, cujus incolas pro viribus meis propugnabo. Tu potentior regna, donec justus judex de utroque nostrum sententiam ferat.* Hæc cum audisset Barbarus, neque, qua se excusaret, causam aliquam adducere sollicitus, bellum indici subito jussit. Imperator rebus sibi prævisis prospiciens, ante sex menses præsidia sup-

Sinopes Regulus operam suam castro ædificando Mehemeti præbet.

Edit. Paris. pag. 137.

Famuli Reguli Sinopensis segetes Græcorum vastant: unde rixa, & pugna oritur.

Vici Epibatæ incolæ Mehemetis jussu trucidatæ.

Constantinus Constantinopoleos portas claudit, & Turcos, qui in urbe erant carceribus conclusit, & illico liberat.

Eunuchi Constantinopoli conclusi se ante solis occasum dimitti ac liberari valde optant.

Constantinus legatos ad Mehemetem mittit.

Bellum Constantinopolitanis & Constantino indicit Mehemetes.

Edit. Parif. pag. 138.

pleverat, & rusticos vicinorum pagorum intra mœnia urbis receperat; qui omnem messem in spica, triticumque vanno purgatum ac ventilatum in urbem comportavrant. Castrum interea princeps Mehemetes omnibus partibus absolvit, muro & turribus triginta palmorum crassitudine, altitudine etiam convenienti fabricatis. Inque turri, quam Halil Bassa ædificaverat, tormenta ænea collocavit, quæ lapides supra sexcentarum librarum pondo explodebant. Arcis custodiæ Pheruzium Agam sibi fidelissimum servum præfecit; mandatque ei, ut naves, triremes, biremes, navigia & acatia, quæcumque ab Hellesponto ad Pontum, vel a Ponto ad Hellespontum navigarent, cujuscumque dominationis ac ditionis, Genuenses, Venetæ, Constantinopolitanæ, Caphatinæ, Trapezuntiæ, Amysinæ, Sinopenses, sive etiam, inquit ille, subditorum meorum fuerint, prænavigare prohibeantur, nisi prius contractis velis vectigal oavatchæ solvant, quo passo pretervehi queant. quæ vero navis non obtemperaverit tormento quassata demergatur. His aliisque constitutis, Pheruzin quadringentorum juvenum ad castri custodiam præsidium reliquit, & Adrianopolim insolens ille ac superbus revertitur, quadrimestri tempore fine operi imposito, imperii sui anno secundo labente; qui fuit ab orbe condito 6961. (Christi 1452.)

Castrum absolutum & rebus præsidioque sufficientibus munitum.

Pheruzius hujus castro præfectus. ann. 1452. Christi.

A μάχης γενέσθαι· ὁ δὲ βασιλεὺς προορῶν τὸ μέλλον, πρὸ ἓξ μηνῶν εἶχε τὰ φρούρια ἐν ἐπιμελείᾳ, καὶ τοὺς χωρίτας τοὺς ἐγγὺς τῆς πόλεως ἔνδον· καὶ τὸ θεριζόμενον στάχυν, καὶ τοὺς λικμιζομένας ἅλωνας ἔνδον ἐκόμιζον. ὁ δὲ ἡγεμὼν ἀπαρτίσας καλῶς τὸ φρούριον, καὶ εἰς πάχος τὰ τείχη καὶ τοὺς πύργους λ' σπιθαμὰς ἐκτείνας, καὶ τὸ ὕψος εἰς τὸ ἁρμόδιον, καὶ ἐν τῷ πύργῳ τοῦ Χαλὴλ Πασία χώνας χαλκοῦς, ἀπολύοντας πέτρας ὑπὲρ ἑξακοσίων λίτρων τὸ βάρος, καὶ τὴν αὐτοῦ πιστοτάτων δούλων Φερούζ Ἀγὰν ὀνόματι παραδοὺς τὸ πολίχνιον· παραγγείλας αὐτῷ ναῦς τὰς ἀφ' Ἑλλησπόντου πρὸς Πόντον, καὶ τὰς ἀπὸ Πόντου πρὸς Ἑλλήσποντον, κἂν ὁποίας ἄρα B αὐθεντίας τυγχάνουσι, εἴτε Γενουῖται, εἴτε Βενετοί, Κωνσταντινουπολῖται, Καφατινοί, Τραπεζούντιοι, Ἀμισινοί, Σινώπιοι, καὶ οἱ ἐκ τῆς ἐμῆς αὐθεντίας ὁποιασοῦν τύχης κἂν ὦσι. νῆες, τριήρεις, διήρεις, βάρκαι, ἀκάτια, μὴ πλοϊζέσθωσαν πρὶν χαλάσαντες τὰ ἱστία, τὸ κομμέρκιον διδόναι, καὶ ὕστερον τὴν ὁδὸν αὐτῶν πορευέσθωσαν. ἡ δὲ ἀπειθήσασα ναῦς, καὶ μὴ ἐνδοῦσα σὺν τῇ πετροβόλῳ καταποντιζέσθω. Ταῦτα καὶ ἕτερα διαπραξάμενος ὁ ἀλαζὼν, δοὺς αὐτῷ καὶ τετρακοσίους νέους εἰς φυλακὴν τοῦ πολιχνίου, αὐτὸς εἰς Ἀδριανούπολιν ὑπεστρέφετο τέτρασι μησὶ τὸ πᾶν ἀπαρτίσας, ἤδη τῆς ἡγεμονίας αὐτοῦ τρέχοντος δευτέρου ἔτους, ἀπὸ δὲ κτίσεως κόσμου ,ϛϡξα.

CAPUT XXXV.

Mehemetes de occupanda Constantinopoli consilia agitat. Bombardarum fusor Mehemeti tormentum æneum prægrande fundit. Navis Veneta Bosporum navigans demergitur, cujus navarchus & vectores capti, Mehemetis jussu crudeliter interfecti. Bombardæ vim Adrianopoli probant. Mehemetes Halilem Bassam noctu ad se vocat, & cum eo de Constantinopoli subjuganda consilia tractat. Halil magno se periculo ereptum putans, letus a Mehemete discedit.

Constantinopolim quibus modis occupare possit meditatur Mehemetes.

ÆState jam exacta, autumnoque inchoante domi agebat Mehemetes pervigil ac irrequietus: interdia namque ac noctu, qaibus artibus ac machinis urbem occupare posset, suoque dominio adjicere, meditabatur. Contigit autem, dum in castro exædificando occupatus erat, æneorum tormentorum fusorem Hungarum, artificem celebertimum urbe relicta abiisse. Jam diu erat, cum is Constantinopolim profectus Mesazontibus Imperatoris artem suam exposuerat, de qua etiam ad Imperatorem retulerunt: qui artifici tanto sportulam quotidianam, ejus arti ac scientiæ minime parem, attribuit; quam tamen, quantumvis exiguam & tenuem, ei non demetiebantur. Quare de vita sustinenda desperans, quadam die ad Barbarum urbe relicta cursim abiit: a quo blande & amice susceptus, victum & vestes honorifice habitus accepit. Mercedem etiam adeo amplam ei condixit, ut si quartam ejus partem ab Imperatore accepisset, Constantinopoli nusquam aufugisset. Hunc interrogavit Mehemetes, num possit bombardam fusilem fabricare tantæ magnitudinis, ut lapidem prægrandem eo impetu

Bombardarum fusor operam suam Constantino offert.

pag. 139.

Maligne habitus a Constantino ad Mehemetem transit; mercedemque amplam ab eo accipit.

C ΘΕΡΟΥΣ οὖν παρελθόντος, καὶ τῆς μετοπωρινῆς ὥρας ἀρχούσης, οἴκοι διάγων οὐκ ἐδίδου ἀνάπαυσιν τοῖς βλεφάροις, ἀλλὰ καὶ ἐν νυκτὶ, καὶ ἡμέρᾳ τὴν φροντίδα τῆς πόλεως εἶχε, πῶς αὐτὴν λάβοι, πῶς κύριος αὐτῆς γένοιτο. Ενὶ ὄντος οὖν αὐτοῦ ἐν τῷ πολιχνίῳ καὶ οἰκοδομοῦντος, ἐξῆλθεν ἐκ τῆς πόλεως ὡς τεχνίτης ὁ τὰς πετροβολικὰς χώνας κατασκευάζων, τὸ γένος Οὖγγρος, τεχνίτης δοκιμώτατος· ἅπερ πρὸ πολλοῦ ἐν τῇ Κωνσταντινουπόλει ἐλθὼν καὶ σημάνας τοῖς μεσάζουσι τῷ βασιλεῖ τὴν τέχνην αὐτοῦ, ἀνέφερον τῷ βασιλεῖ. Ο δὲ βασιλεὺς γράψας αὐτῷ σιτηρέσιον οὐκ ἄξιον πρὸς τὴν ἐπιστήμην αὐτοῦ· οὐδ' ἐκεῖνο τὸ μηδαμινὸν, καὶ διαριθμητὸν ἐδίδοσαν τῷ τεχνίτῃ· ὅθεν καὶ ἀπογνοὺς καταλιπὼν τὴν πόλιν, μιᾷ τῶν D ἡμερῶν τρέχει πρὸς τὸν βάρβαρον. καὶ αὐτὸς ἀσπασίως ἀποδεξάμενος, καὶ τροφὰς, καὶ ἐνδύματα φιλοτιμήσας αὐτὸν δίδωσι, καὶ ῥόγαν τόσην, ὅσην εἰ ὁ βασιλεὺς τὸ τέταρτον ἔδιδεν, οὐκ ἂν ἀπεδίδρασε τῆς Κωνσταντινουπόλεως. Ερωτηθεὶς οὖν παρὰ τοῦ ἡγεμόνος, εἰ δύναται κινῆσαι χωνείαν μεγάλην πέτραν φέρουσαν ὑπερμεγέθη, ὅσον πρὸς τὴν ἄλλην καὶ τὸ πάχος τοῦ τείχους τῆς πόλεως. αὐτὸς δὲ ἀπεκρίνατο· δύ-

Digitized by Google

A στήσαι, εἰ βούλει, κατασκευάσαι χωνείαν, ὅσον τὸ μέγεθος τυγχάνει τῆς δεικνυμένης μοι πέτρας. ἐγὼ γὰρ τὰ τείχη τῆς πόλεως ἀκριβῶς ἐπίσταμαι, οὐ μόνον γὰρ ἐκεῖνα, ἀλλὰ καὶ τὰ Βαβυλώνια τείχη, ὡς χοῦν λεπτυνεῖ ὁ παρὰ τῆς χωνείας τῆς ἐμῆς ἀφεθεὶς. πλὴν ἐγὼ τὸ πᾶν τοῦ ἔργου καλῶς ἀπαρτίσω, τὴν δὲ βολὴν οὐκ ἐπίσταμαι, οὐδὲ συντάσσομαι· τοῦτο ἀκούσας ὁ ἡγεμὼν ἔφη· κατασκεύασόν μοι τὴν χωνείαν, περὶ δὲ τῆς βολῆς τοῦ λίθου αὐτὸς ὄψομαι. ἤρξατο συναθροίζειν χαλκὸν, τοίνυν καὶ ὁ τεχνίτης τὸν τύπον τῆς σκευῆς ἔπλαττεν. ἐν τρισὶν οὖν μησὶ κατεσκευάσθη, καὶ ἐχωνεύθη τέρας τι φοβερὸν, καὶ ἐξαίσιον. ἐν δὲ τῷ Πασχασίῳ πολιχνίῳ τὰς ἡμέρας ἐκείνας καταρχομένας νηὸς ἐκ τοῦ στομίου μεγάλης τῶν Βενετίκων, Ῥίτζος ὁ ναύαρχος τοὔνομα,
B καὶ μὴ χαλάσας τὰ ἱστία, πέτραν ἀκοντίσαντες οἱ τοῦ κάστρου ὑπερμεγέθη, τὴν ναῦν διέρρηξαν, καὶ εἰσδυομένης τῷ βυθῷ ὁ ναύαρχος σὺν λοιποῖς τριάκοντα ἐν ἀκατίῳ ἐμβάντες ἐξῆλθον ἐν τῷ αἰγιαλῷ. Οἱ δὲ Τοῦρκοι λαβόντες αὐτοὺς, καὶ δήσαντες τὰς χεῖρας καὶ τοὺς τραχήλους ἐν ἁλύσει, περάσαντες ὡς ἐν μιᾷ σειρᾷ, τούτους πρὸς τὸν ἡγεμόνα ἀπήγαγον, τότε ἐν Διδυμοτείχῳ διάγοντι. Ἐκέλευσεν οὖν τοὺς πάντας ἀποκεφαλισθῆναι, τὸν δὲ ναύαρχον ἐν τῷ πάλῳ διὰ τοῦ ἀφεδρῶνος τὴν ψυχὴν ἀπορρῖψαι, καὶ ἀτάφους ἀφεῖναι, οὓς καὶ ἶδον ἐγὼ, μεθ' ἡμέρας ὀλίγας ἐκεῖ διαγομένου μου. ἐλθὼν δὲ ἀπὸ Διδυμοτείχου ἐν Ἀδριανουπόλει τῷ Ἰαννουαρίῳ μηνὶ, καὶ πᾶσαν σκευα-
C σίαν πολεμικὴν ἑτοιμάσας, τὴν χωνείαν, ἣν ὁ τεχνίτης ἐκεῖνος κατεσκεύασεν, ἠβουλήθη δοκιμάσαι. καὶ δὴ παραστήσας αὐτὴν τεχνιέντως ἔμπροσθεν τῆς μεγάλης πύλης τῆς αὐλῆς τῶν παλατίων, τῶν παρ' αὐτοῦ τὸ ἔτος ἐκεῖνο κτισθέντων· καὶ τὴν πέτραν καλῶς ἐνθεὶς, καὶ τὴν βοτάνην σταθμήσας, τὴν αὔριον ἔμελλεν ἀπολύσειν αὐτὴν, καὶ ἐν πάσῃ τῇ Ἀδριανουπόλει φανερὸν ἐγένετο, τοῦ κατὰ νοῦν ἔχειν τὴν βολὴν καὶ τὸν κτύπον τὸν οὐρανόβροντον, ἵνα μὴ ἐξαίφνης ἐνωτισθέντες τινὲς ἄφωνοι μείνωσι, καὶ γυναῖκες ἐν γαστρὶ ἔχουσαι τὰ ἔμβρυα ἀπολέσωσι. Πρωῒ οὖν βαλὼν πῦρ ἐν τῇ βοτάνῃ, καὶ ἐκθερμανθέντος τοῦ πνεύματος, καὶ
D ἐκπυρωσαμένης τῆς πέτρας, ἀπελύθη τῆς χωνείας σὺν ἤχῳ βαρεῖ ἀεροβάτῳ πληροῦντι τὸν ἀέρα καπνοῦ καὶ ὁμίχλης. ἡ δὲ βοὴ ἀφίκετο μέχρι σταδίων ρ' τὸ μῆκος, ὁ δὲ λίθος ἔπεσε μακρόθεν τοῦ ἀφεθέντος τόπου ὡς μίλιον ἕν. ἐν δὲ τόπῳ τῷ πεσόντι, ἐγένετο βόθρος ὅσον ὀργυίας μιᾶς. Τοσαύτη ἐστὶν ἡ δύναμις τῆς ἀναμιγῆς τῶν βοτάνων τῆς ἀκοντιζούσης τὸν λίθον. Εἶχεν οὖν ὁ ἡγεμὼν καὶ ἐν νυκτὶ, καὶ ἡμέρᾳ τὴν πᾶσαν φροντίδα, καὶ μεριμνῶν κοιτώμενος καὶ ἀνιστάμενος, καὶ ἐντὸς τῆς αὐλῆς αὐτοῦ καὶ ἐκτὸς, ποίῳ πολέμῳ, καὶ ποίᾳ μηχανῇ καθέξει τὴν Κωνσταντινούπολιν. πολλάκις ἑσπέρας γενομένης σὺν δυσὶ, καὶ μόνοις ἱππεύων, ἐν ἄλλοις πεζὸς ἅπασαν τὴν Ἀδριανοῦ ἐν σχήματι στρατιώτου μεταρχόμενος, ἀκούων τὰ λεγόμενα περὶ αὐτοῦ·
E ἐὰν γὰρ τῶν πολλῶν τις κατέλαβεν ἐν νῷ ὅτι ἡγεμών ἐστι, καὶ ἠβουλήθη προσαγορεῦσαι αὐτὸν σὺν εὐφημίᾳ κατὰ τὸ σύνηθες, καὶ αὐτὸς εὐθαρὸν καιρίαν ἐδίδου τὴν πληγὴν μὴ φειδόμενος, μὴ ἐλεῶν· ἀλλ' ὥσπερ τίς ψύλλαν συντρίβων αἰσθάνεται τινὸς ἡδονῆς, οὕτω καὶ οὗτος οἰκείᾳ χειρὶ φονεύων, ὁ φόνου ἄξιος, ἐδροσίζετο· μιᾷ οὖν τῶν νυκτῶν περὶ δευτέραν φυλακὴν τοί-

A emittere possit, qui murorum firmitudinem ac latitudinem vincat. Respondit artifex: *Si tibi libitum erit, tormentum æneum fundere possum cujuslibet lapidis capax. muri urbis accurate etiam mihi explorati sunt; quos non solum, sed & Babylonios quoque, lapidibus tormento meo explosis, in pulverem comminuam. Totum, quod artis ac operis mei est, rite absolvam. Quam longus vero futurus sit jactus, nec scio, nec assero.* Hæc cum intellexisset princeps, fabricari sibi tormentum æneum jussit, de lapidum emissione & jactu determinando postea deliberaturus. Æs itaque conquisitum, modulusque operis ab artifice deformatus, tribusque mensibus conflatum fusumque est monstrum quoddam formidabile, & horrendum. Per id tempus,
B cum navarchus quidam Venetus nomine Ricius, magna navi ab ostio sacro ad castrum Bascesen navigaret, nec vela contraxisset; in navem illam globum ingentis molis lapideum præsidiarii emiserant; cujus ictu quassata ac fracta in profundum demersa est. Navarchus & triginta alii acatio conscenso in littus evadunt. quos comprehensos Turci manibus & collo catenis injectis vinciunt; & una catena omnes vinctos Didymotichum ad principem, qui tum ibi morabatur, ducunt. His omnibus caput amputari, navarchum adacto per anum palo necari, insepultaque eorum cadavera projici jussit, quæ paucos post dies, illis in locis tunc agens, vidi. Didymoticho postquam ab-
C iit Adrianopolim Januario labente, omniaque bellica instrumenta apparavit; tormentum æneum ab illo artifice fusum probare & experiri voluit. Illud ergo machinis, ante portam majorem vestibuli ædium, quas hoc ipso anno princeps extruxerat, ab artifice adducitur: lapis ei, pulverisque pondus perpensum immittatur; postridieque ignem injiciendum asse Adrianopolitanis omnibus significatur; ut, quantus futurus erat fragor ac strepitus tonitru similis, moniti, nullus eo audito, pavore ex improviso perculsus, mutus fieret; ut etiam mulieres prægnantes partum abortu non abjicerent. Mane ergo accenso pulvere, & intra bombardam calefactu spiritu, lapis hor-
D rendo cum sono emittitur: totusque aer fumo & caligine completur. Ad centesimum porro stadium fragor sonusque pervenerunt; lapisque ad milliare usque unum, a loco unde amissus fuit, latus est. Ubi tandem cecidit, ad orgyæ unius altitudinem in terram penetravit: tanta vis est hujus pulveris, quo lapides emittuntur. His intentus princeps noctu & interdiu, in lecto jacens, & postquam surrexerat in palatio sedens, vel foras incedens anxius ac sollicitus animo versabat, quomodo oppugnandam Constantinopolim aggrederetur, quaque artem eam expugnaret. Adventante vespera duobus adscitis comitibus alias equo vectus, alias pedes incedens, per totam Adrianopolim habitu militari simplici sæpe ambulabat
E qui vulgo sermones de sa jactabantur, exploraturus. Siqqis porro plebejus agnitum principem salutare, faustaque precari, ut mos est, voluisset: ille nullius misertus lethala vulnus statim infligebat: & ut quivis pulicem conterendo voluptatem carpit, sic iste morte dignus aquidem, sua manu interficiendo delectabatur. Nocte quadam, circa secundam custodiam, aliquot aulæ suæ satellites,

Mehemeti prægrande tormentum æneum fabricare pollicetur.

Tormentum æneum ingens fusum.

Navis Veneta demersa explosione bombardæ e castro Bascesen.

Vectores navis & navarchum capti & crudeliter interfecti.

Edit. Paris. pag. 140.

Bombardæ illius prægrandis vis exploratur.

Mehemetes oppugnandæ Constantinopoleos rationem anxie admodum meditatur.

Hominum de se opiniones explorat.

Halilem Bassam ad se noctu accersit.

qui Halilim Bassam ad se ducerent, mittit. Hi domum illius veniunt, & Eunuchis mandata principis exponunt, qui cubiculum heri sui ingressi principem eum ad se accersere nunciant.

Halil de vita sua nocte intempesta vocatus desperat.

Trepidans itaque, conclamatamque salutem suam putans, uxorem ac liberos complexus abiit, secumque auream pateram aureis nummis plenam defert. Propter causam enim memoratam metu intra se semper torquebatur. Ingressus principis cubiculum videt ipsum sedentem ac vestibus indutum;

Pecunia oblata placare Mehemetem vult. Mehemetis ad eum verba.

quem cum adorasset, coramque pateram apposuisset, his verbis interrogatus est a principe. *Quid hoc sibi vult Lala? ac si quis nostro vulgari idiomate vocet id est præceptor.* ille respondit, *Domine mos est Satrapis & proceribus, si quando hora intempesta eorum quemquam vocaverit princeps, nusquam vacuos ipsum adire. Nihil equidem ex meis opibus te adeundo attuli, verum tua ex tuis tibi offero.* Respondit princeps, *tuis haud indigeo: plura, quam ea possides, tibi dabo: unum a te peto, ut in Constantinopoleos possessionem me mittas.*

Halil in Romæos propensus.

His verbis Halil, qui Romæos semper protexerat, & quo, velut manu dextra, utebantur, ejus manum donis etiam complentes, territus est. De eo quoque has voces vulgo jactabant, Cavur Ortachi, (id est *infidelium nutritius & auxiliator.*)

Edit. Paris. pag. 141.

Halilis ad Mehemetem responsio.

Respondit principi hunc in modum Halil: *Domine, Deus, qui maximam partem ditionis Romæorum Imperio tuo subjecit, urbem etiam tibi tradet. ut enim mihi videtur, Dei ope viribusque, quibus polles, admotis, manus tuas non effugiet. Ego omnesque servi tui, collatis non solum pecuniis, sed & sanguine nostro profuso, certatim operam nostram tibi dabimus: de hoc proposito nostro certus sis ac securus.* Hæc ad tempus ferum illum ac immitem placaverunt; qui Halili dixit, *hoc cervical conspicis, totam noctem transegi illud ab una sponda in aliam versando: recumbens ac vigilans, somnum oculis non cepi. Hoc te moneo, auro & argento te corrumpi haud patiaris, & proposito tuo ne dimovearis. Firmo constantique animo cum Romæis pugnemus: Dei decreto, ac Prophetæ precibus confisi urbem occupabimus.*

Halil cum benevolis verbis dimissus a Mehemete.

His similibusque verbis blandis usus, curis illum, quibus memor sibique multorum conscius animus angebatur, sanguisque adurebatur, pacifice dimissum solvit.

Mehemetes totus in designanda Constantinopoleos obsidione.

Cuncta contra urbem machinatus ac molitus, omnes noctes illas insomnes egit. In charta etiam situm ambitumque urbis delineabat, & cum iis communicabat; qui propugnaculorum mœniumque urbis statum noverant. Consiliaque agitabat, ubi & quomodo machinæ admovendæ, plutei pangendi, vineæ agendæ, & qua cuniculi, ut in fossam perveniretur, ducendi essent, qua tandem ad subeundum murum scalæ admovendæ: & ut verbo dicam, omnem apparatum noctu excogitatum & delineatum, mane fabrefieri & perfici curabat.

A λας τῶν τῆς αὐλῆς φυλάκων τινὰς ἤγαγον τὸν Χαλὶλ Πασίαν· ἐλθόντες δὲ, καὶ τοῖς τούτου εὐνούχοις εἰπόντες τὸ μήνυμα, αὐτοὶ ἐν τῷ κοιτῶνι εἰσελθόντες ἀπήγγειλαν, πῶς ὁ ἡγεμὼν καλεῖ αὐτόν· αὐτὸς δὲ σύντρομος γενόμενος ἀπαγορεύσας ἑαυτὸν, καὶ τὴν γυναῖκα καὶ τέκνα κατασπασάμενος ἄπεισι, φέρων μεθ' αὐτοῦ δίσκον ἕνα χρυσοῦν πλήρη νομισμάτων χρυσῶν. εἶχε γὰρ ἀεὶ τὸν φόβον ἐν τῇ καρδίᾳ αὐτοῦ δι' αἰτίαν τὴν ἤδη προλαβὼν ἐδήλωσα. εἰσελθὼν δὲ ἐν τῷ κοιτῶνι τοῦ ἡγεμόνος ἴδε καθήμενον καὶ ἐνδεδυμένον, προσκυνήσας δὲ καὶ ἔμπροσθεν θήσας τὸν δίσκον, ὁ ἡγεμὼν εἶπε. τί εἰσι ταῦτα λαλά; (ὡς εἴποι τις κατὰ τὴν ἡμετέραν κοινὴν γλῶτταν, παππά, ἤγουν παι- B δαγωγέ,) ὁ δὲ ἀπεκρίνατο· Κύριε, ἔθος ἐστὶ τοῖς Σατράπαις, ὅταν ὁ ἡγεμὼν φωνήσει τινὰ τῶν μεγιστάνων παρ' ὥραν, μὴ εἰσέρχεσθαι κενὸς εἰς θεωρίαν αὐτοῦ· ἐγὼ δὲ οὐδὲν ἐκ τῶν ἐμῶν ἔφερον εἰς θεώρετρα, ἀλλ' ἐκ τῶν σῶν τὰ σὰ προσέφερον. Ὁ δὲ ἡγεμὼν ἀπεκρίνατο, οὐκ ἔτι μοι χρεία τῶν σῶν, μᾶλλον καὶ ἔτι πλείονα δωρήσομαί σοι. ἕν ἐστι τὸ ζητούμενον, τὸ τὴν πόλιν διδόναι μοι. ὁ δὲ Χαλὶλ ἐπὶ τῷ λόγῳ σύντρομος γέγονε, τὴν γὰρ ἀεὶ ὑπερασπίζων τοῖς Ῥωμαίοις, καὶ οἱ Ῥωμαῖοι τοῦτον ὡς δεξιὰν χεῖρα ἐκέκτηντο, καὶ τὴν δεξιὰν αὐτοῦ δώροις ἐπλήρουν· ἦν δὲ παρὰ πάντων τὸ ᾀδόμενον, Καβοὺρ Ορτιγά, οἷον τῶν ἀπίστων ὁ σύντροφος, ἢ βοηθός. τότε ἀποκριθεὶς ὁ Χαλὶλ τῷ ἡγε- C μόνι εἶπε· Κύριε, ὁ Θεὸς, ὁ δούς σοι εἰς χεῖρας τὸ πολλοστὸν μέρος τῆς γῆς τῶν Ῥωμαίων, αὐτός σοι καὶ τὴν πόλιν δωρήσεται. ὡς γὰρ ἐμοὶ δοκεῖ ἐκ τῶν χειρῶν σου οὐ φεύξεται. καὶ σὺν Θεῷ καὶ τῷ κράτει σου, καὶ ἐγὼ καὶ πάντες οἱ δοῦλοί σου συναγωνισόμεθα, οὐκ ἐν πλούτῳ μόνον, ἀλλὰ σὺν σαρκὶ καὶ αἵματι. καὶ περὶ τούτου τοῦ σκέμματος ἀμέριμνος ἔσο· Ταῦτα πρὸς ὀλίγον ἡμέρωσαν τὸν ἄγριον θῆρα, καὶ λέγει τῷ Χαλὶλ, βλέπεις τὸ προσκεφάλαιον, ὃ πᾶσαν νύκτα διεβίβασα ἕλκων ἀπὸ τῆς μιᾶς γωνίας τοῦ κοιτῶνος εἰς τὴν ἄλλην, καὶ ἀπὸ τῆς ἄλλης εἰς τὴν ἑτέραν, ἀνακλινόμενος καὶ ἐξεγειρόμενος, καὶ ὕπνος τοῖς ὀφθαλμοῖς μου οὐκ ἐρχόμενος· λέγω οὖν ἀργύριον ἢ χρυσίον μή σε δελεάζων D ἀπορρίψει τῆς ἀποκρίσεως, ἧς ἀπεκρίνω μοι νῦν. ἀλλὰ σταθερῶς ἀνταγωνισόμεθα τοῖς Ῥωμαίοις, καὶ θαρροῦντες Θεοῦ τῇ νεύσει, καὶ τῇ εὐχῇ τοῦ προφήτου τὴν πόλιν ληψόμεθα. Σὺν τούτοις οὖν καὶ ἑτέροις κολακευτικοῖς λόγοις, ἐχύσας ἐν τῷ μέσῳ τῶν κολακειῶν καὶ τὰς καρδίας συφώσας, καὶ τὸ αἷμα ξηράνας, δαιμονώδεις μνήμας, ἀπέλυσεν, εἰπὼν ὕπαγε ἐν εἰρήνῃ. τὰς πάσας οὖν νύκτας ἐκείνας οὐκ ἔλιπε διανυκτερεύων καὶ μεριμνῶν τὰ κατὰ τῆς πόλεως, λαμβάνων ἐν χερσὶ χάρτην καὶ μέλανα, καὶ σκιαγραφῶν τὴν περιοχὴν τῆς πόλεως. καὶ δεικνύων τοῖς ἐπισήμοσι τῶν ἐπάλξεων, ποῦ καὶ πῶς μέλλουσι θεῖναι τὰς σκευὰς τοῦ προβόλου, καὶ τὰς ἐπάλξεις καὶ τὰς κατορυγὰς, καὶ τὰς τάφρου τὴν εἴσοδον, καὶ τὰς κλίμακας ἐν ποίῳ τείχει· καὶ ἁπλῶς εἰπεῖν τὴν πᾶσαν παρασκευὴν ἀπετυποῦτο διὰ τῆς νυκτὸς, καὶ τὸ πρωῒ κελεύων ἐγένετο πάντα, σπουδαίως καὶ πανούργως ἐπιπλέον.

CAPUT

CAPUT XXXVI.

Constantinus Imp. auxilia petit a Papa, unionisque Ecclesiarum opus absolvi. Isidorus Cardinalis a Papa Constantinopolim mittitur. Græci civili discordia laborant ob unionis reconciliationem, paucis eam amplectentibus, maxima parte eam, Gennadio auctore, abhorrente. Liturgia in S. Sophiæ templum celebratur ab Henoticis, cui Cardinalis Isidorus interfuit. Græcorum sublesta fides. Constantinus cibaria in urbem comportari curat.

Οἱ δὲ τῆς πόλεως, ἔλθωμεν δὴ καὶ ἐπ' αὐτὴν, καὶ ἴδωμεν τίς ἡ φροντὶς αὐτῶν, καὶ μέριμνα τοῦ διασώσασθαι τὴν πόλιν ἐκ χειρὸς τοῦ Ναβουχοδονόσορ. Ὁ βασιλεὺς μὲν στείλας ἐν Ῥώμῃ προλαβὼν, αἰτῶν βοήθειαν, καὶ ὅπως συμπεισθῶσι τῇ ὁμονοίᾳ, καὶ ἑνώσει τῇ γεγονυίᾳ ἐν Φλωρεντίᾳ, καὶ λάβῃ τὸ μνημόσυνον ὁ Πάπας ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ· καὶ ὁ Πατριάρχης Γρηγόριος ἐπανελεύσεται ἐν τῷ θρόνῳ αὐτοῦ. καὶ μετεκαλεῖτο τινὰς ἀφιέσθαι τῶν τοῦ Πάπα, ὅπως εἰρηνεύσωσι τὴν ἄσπονδον ἔχθραν τοῦ σχίσματος. Ἔστειλε δ' ὁ Πάπας τὸν Καρδινάλιον Πολωνίας, τὸν ποτὲ Ἀρχιεπίσκοπον Ῥωσίας Ἰσίδωρον, ἄνδρα συνετὸν, σώφρονα, καὶ πεπαιδευμένον ἐν δόγμασιν ὀρθοῖς, Ῥωμαῖον τὸ B γένος, τὸν αὐτὸν ἕνα τῆς ἐν Φλωρεντίᾳ συνόδου ὑπάρχοντα, πατέρα τίμιον, ὡς ὁ λόγος φθάσας ἐδήλωσε. καὶ ἐλθόντος ἐν τῇ νήσῳ Χίῳ μετὰ νηὸς μεγίστης τῶν Γενουιτῶν, ἐποίησεν ἡμέρας ἱκανὰς ἕως οὗ οἱ ἔμποροι τῆς νηὸς πραγματεύσονται, καὶ δώσωσι τὰ χρεώδη, καὶ λάβωσι τὰ ζητούμενα, ἀναμένοντες καὶ ἑτέραν ναῦν, ἥτις ἔμελλε συμπλέειν ἄχρι Καφᾶ. Ὁ Καρδινάλιος, ὡς ἔχων μεθ' αὐτοῦ τῶν Ἰταλῶν ἄχρι πεντήκοντα, ἐρόγευσε καὶ ἑτέρους πλείστους ἐκ τῆς Χίου Λατίνους. καὶ δὴ φανεῖσα ἡ ἐκδεχομένη παρ' αὐτῶν ναῦς, ἐξελθόντες ἐκ τῆς Χίου, πρὸς Κωνσταντινούπολιν ἔπλευσαν, καταντήσαντες ἐν αὐτῇ τὸν Νοέμβριον μῆνα τοῦ ,ϛϡ C να' ἔτους. Καὶ ὁ Βασιλεὺς δεξιῶς ἀποδεξάμενος, καὶ τιμήσας ὡς ἔπρεπεν, ἦλθον εἰς τοὺς τῆς ἑνώσεως λόγους, καὶ εὗρον τὸν Βασιλέα εἰς τοῦτο κατανεύσαντα, καὶ μερικῶς τῶν τῆς Ἐκκλησίας. τὸ πλεῖστον δὲ μέρος τοῦ ἱερατικοῦ καὶ μοναχικοῦ τάγματος, ἡγούμενοι, ἀρχιμανδρῖται, μονάζουσαι. τί λέγω τὸ πλεῖστον; παρεκίνησάν με γὰρ αἱ μονάστριαι εἰπεῖν, καὶ γράφειν, οὐδεὶς ἐξ ἁπάντων, καὶ αὐτὸς ὁ βασιλεὺς πεπλασμένως κατένευσε. πλὴν ἐλθόντες οἱ φαινόμενοι κατὰ τὸ δοκοῦν τῆς ἑνώσεως ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἱερεῖς τε, καὶ διάκονοι τοῦ τοῦ κλήρου, καὶ ὁ Βασιλεὺς σὺν τῇ συγκλήτῳ ἐβούλοντο κοινῇ ὁμονοίᾳ λειτουργῆσαι Θεῷ, καὶ ἀποδοῦναι τὰς D εὐχὰς ἀδόλῳ γνώμῃ. Τότε τὸ σχισματικὸν μέρος ἐλθὸν ἐν τῇ μονῇ τοῦ Παντοκράτορος ἐν τῇ κέλλῃ τοῦ Γενναδίου, τοῦ ποτὲ Γεωργίου Σχολαρίου, ἔλεγον αὐτῷ. καὶ ἡμεῖς τί ποιήσωμεν; αὐτὸς δὲ ἐγκλεισθεὶς, καὶ χάρτην λαβὼν, καὶ γράψας τὴν γνώμην αὐτοῦ, διὰ τῆς γραφῆς ἐδήλου καὶ τὴν συμβουλήν. τὰ γραφέντα δὲ ἐδήλουν οὕτως. Ἄθλιοι Ῥωμαῖοι, εἰς τί ἐπλανήθητε, καὶ ἀπεμα-

A VERUM in urbem Constantinopolim redeamus, & quid animo volvebant Constantinopolitani, quamque curam & sollicitudinem adhibuere, ut Nabuchodonosori manibus ereptam servassent, perpendamus. Imperator suppetias rogatum Romam jam antea miserat: ut etiam concordia Florentiæ reconciliata stabiliretur: inque magnæ Ecclesiæ liturgiis Papæ nomen e sacris diptychis recitaretur; ad thronum etiam suum Patriarcha Gregorius rediret: hortantibus etiam legatis, aliquos Papa mitteret, qui schismatis causa orta capitalia odia placarent. His Papa permotus Poloniæ Cardinalem Isidorum, qui Russiæ Archiepiscopus fuerat, misit: virum equidem prudentem ac modestum, in Orthodoxis B dogmatibus eruditum, & natione Romæum: qui, ut jam diximus, pater eximius Florentino Concilio interfuerat. Nave maxima Genuensi vectus ad Chium insulam appulit, pluresque illic dies transegit; donec mercatores, quorum navis erat, negotia sua, distractis mercibus quas attulerant, & necessariis comparatis, absolvissent: eisque se conjunxisset navis alia, quæ ad Capham usque navigatura erat. Præter quinquaginta Italos, qui eum comitabantur, plurimos etiam alios ex Chio Latinos mercede conduxit. Tandem cum expectata navis comparuisset e Chio solverunt, & versus Constantinopolim navigarunt, ad cujus portum Novembri mense anni ab orbe con- C dito 6961. (Christi 1452.) appulerunt. Comiter ac honorifice, utque decebat, Cardinalem Imperator suscepit. Habitisque de Ecclesiarum concordia colloquiis, Imperator & Græcæ Ecclesiæ privati homines, ad eam stabiliandam propensos se exhibuerunt. At sacri ordinis maxima pars & monachorum, Abbates & Archimandritæ, Moniales etiam hanc reconciliatam concordiam aversari sunt. Quid plerosque dico? Moniales equidem ita me commoverunt ut scribendo asseram nullum omnino ei assensisse: ipsumque Imperatorem ficte ac simulata illi adhæsisse. Nihilominus, qui henotico decreto obtemperare videbantur, Clerici, sacerdotes ac diaconi, Imperator & D Senatus in magnam Ecclesiam convenerunt, ut concordibus animis & unitis divinam liturgiam celebrarent, sinceraque mente Deo precibus litarent. Tum etiam schismatici ad Pantocratoris monasterium currunt, Gennadium, antea Georgium Scholarium appellatum, adeunt, consiliumque ab eo, quomodo se gerere debeant, petunt. Is inclusum se cella tenebat, accepta ergo charta sententiam suam consiliumque rogatus, scripto aperit, quo talia continebantur. *Miseri Ro-*

Imp. Constantinus a Papa auxilia petit. & ut reconciliata Florentiæ concordia stabiliatur.

Gregorius Patriarcha.

Edit Paris. pag. 142.

Isidorus Cardinalis a Papa mittitur Constantinopol.

Isidorus Cardinalis Constantinopolim accessit anno 1452. mense Novembri.

Discordia inter Græcos.

Clerici unionem aversantur.

Simulatio Græcorum, ipsius etiam Imperatoris.

Confusio ac dissidium inter Græcos.

Gennadius ab unione dehortatur scripto.

ræl quare aberrastis? & a spe, quæ in Deo reposita est, Francorum viribus confisi longe recessistis? cum ipsa urbe veram religionem, brevi in ea evertendam, perdidistis. Væ! propitius mihi sis Domine. coram te testor ab ejusmodi culpa & offensione me abesse, insontemque & purum esse. Advertite miseri cives quid hodie fiat? Servitutis, quæ cervicibus vestris impendet, ærumnas augendo, a parentibus majoribusque vestris acceptam fidem abnegastis, impietatem professi. Væ vobis dum judicatis. Hæc & alia plura cum scripsisset, cellæ suæ januæ a cunctis postea lecta clavo affixit, iterumque intra eam se conclusit. Continuo quæ viræ integræ ac puræ censebantur moniales, Deoque servire recta ac orthodoxa dogmata profitendo, earum doctore Gennadio, monasteriorum Abbatibus, pneumaticis seu confessariis, cæterisque sacerdotibus, ac laicis conspirantibus, arbitrio suo ac sententia Synodi decretum, & eos qui illud probaverant, quique in posterum probarent, anathemate damnarunt. Infima deinde forensisque turba e monasterii claustris dilapsa in œnopolia, manibus phialaa mero plenas tenenres, henoticos, id est unitati adhærentes, diris devovebaot: & in honorme imaginis Deiparæ exhaustis poculis, eam iovocabant, ut urbi præesset & auxiliaretur. & quomodo olim adversus Chosroem, Chaganum, & Arabes pugnavetat, ita nunc adversus Mehemetem præliaretur: *Latinorum enim* (inquiunt) *auxiliis non opus est nobis: procul sit a nobis Azymitarum ritus.* Qui vero in magna Ecclesia convenerant Christiani, votis ac precibus prolixis Deo oblatis, Cardinalisque oratione audita, decreto concordiæ & unitatis Ecclesiarum paruerunt. In id etiam utrique consenserunt, ut, a Turcis impendente periculo remoto, ac tranquillitate reddita, selecti aliquot insignes & probati viri decretum examinent; ut, siquid minus orthodoxum sit, corrigant ac emendent. Hac itaque reconciliata concordia, inter illos convenit, ab Italis & Græcis in magna Ecclesia liturgiam communem celebrari, commemorationem Nicolai Papæ in sacris diptychis, atque etiam Gregorii Patriarchæ tunc exulantis fieri. Decembris die XII. anno mundi 6991. (Christi 1452.) Sacra illa Mystagogia celebrata fuit. Multi vero a sacris donis oblatis abstinuerunt, quod illa liturgia concordiæ reconciliandæ celebrata, impurum ac abominandum sacrificium peractum existimarent. Cardinalis interea animos & corda, Græcorumque propositum explorabat ac rimabatur, quorum fraus ac dolus eum non fugiebant. Cum vero ex eadem gente esset, auxilium urbi ferri procurabat; segnius tamen ac remissius ab eo id actum: & quæ deinceps acciderunt, excusationem legitimam Papæ ministrarunt: & illorum casuum plerique Dei voluntati adscripti sunt, qui cuncta ad utilem finem dirigit. Verum plebs fera, bonis infensa, arrogantiæ germen & radix, vanæ gloriæ ramus, superbiæ flos, fæx nationis Græcæ, quæ cæteras gentes, contemptibilis ipsa, despectui habet, acta omnia pro infectis reputabat. Qui ergo Henoticorum partes secuti cum schismaticis colloquebantur, his sermonibus usi sunt: *State & videamus num Deus hanc hostem de medio tollat; draconem immanem, qui in acie contra nos stat; qui hanc urbem penitus devoraturum se jactat. Si Deus eum perdiderit, con-*

Edit. Paris. pag. 143. Cella inclusum se tenet. Moniales imprimis unionis decreto adversantur.

Græcorum petulantia, & male sana mens.

Liturgia in Ecclesia magna celebrata ab henoticis.

Græci & Latini de examinando in posterum decreto conveniunt.

Decembr. 12. anno 1452. liturgia celebrata unionis sancita.

Isidorus Græcis parum credit & frigide auxilia sollicitat.

Plebis Constantinopolitanæ indoles. Græcorum perfidia.

pag. 144.

A κρύνατε ἐκ τῆς ἐλπίδος τοῦ Θεοῦ, καὶ ἐλπίσατε εἰς τὴν δύναμιν τῶν Φράγκων, καὶ σὺν τῇ πόλει ἐν ᾗ μέλλει φθαρῆναι; ἐχάσατε καὶ τὴν* εὐσέβειάν σας. ἵλεώς μοι Κύριε. μαρτύρομαι ἐνώπιόν σου, ὅτι ἀθῶος εἰμὶ τοῦ τοιούτου πταίσματος. γινώσκετε ἄθλιοι πολῖται τί ποιεῖτε; καὶ σὺν τῷ αἰχμαλωτισμῷ, ὃς μέλλει γενέσθαι εἰς ὑμᾶς, ἐχάσατε καὶ τὸ πατροπαράδοτον, καὶ ὁμολογήσατε τὴν ἀσέβειαν· Οὐαὶ ὑμῖν ἐν τῷ κρίνεσθαι. Ταῦτα καὶ ἕτερα πλείω γράψας, καὶ εἰς τὴν θύραν τοῦ κελλίου αὐτοῦ προσηλώσας, ἐκλείσθη ἔνδον, καὶ ὁ χάρτης ἀνεγινώσκετο· Τότε αἱ δοκοῦσαι καθαραί, καὶ εἰς Θεὸν ἐν ὀρθοδοξίᾳ σχολάζουσαι μονάστριαι, κατὰ τὸ δοκοῦν αὐταῖς, καὶ τὸν αὐτῶν διδά-
B σκαλον Γεννάδιον, ἅπασαι σὺν τοῖς ἡγουμένοις, καὶ πνευματικοῖς, καὶ λοιποῖς ἱερεῦσι, καὶ λαϊκοῖς τὸ ἀνάθεμα ἐξεβόησαν, καὶ τὸν ὅρον τῆς συνόδου, καὶ τοὺς στέρξαντας, καὶ στέργοντας, καὶ μέλλοντας στέρξαι ἀνεθεμάτισαν. Ὁ χυδαῖος οὖν, καὶ ἀγοραῖος λαὸς ἐξελθόντες ἐκ τῆς αὐλῆς τοῦ μοναστηρίου ἐν καπηλείοις, κρατοῦντες ἐν χερσὶ τὰς φιάλας πλήρεις ἀκράτου, ἀνεθεμάτιζον τοὺς ἑνωτικούς, πίνοντες εἰς πρεσβείαν τῆς εἰκόνος τῆς Θεομήτορος, καὶ παρακαλοῦντες αὐτὴν τοῦ γενέσθαι προστάτις καὶ ἀρωγὸς τῆς πόλεως, ὡς ποτὲ κατὰ τοῦ Χοσρόου, καὶ τοῦ Χαγάνου, καὶ κατὰ Ἀράβων, οὕτω καὶ νῦν κατὰ τοῦ Μεχεμέτ. οὐ γὰρ Λατίνων οὔτε βοήθειαν, οὔτε τὴν ἕνωσιν χρῄ-
C ζομεν· ἀπέστω ἀφ' ἡμῶν ἡ τῶν Ἀζυμιτῶν λατρεία. Οἱ δὲ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἀθροισθέντες Χριστιανοί, δέησιν πρὸς τὸν Θεὸν ἐκτενῆ ποιήσαντες, καὶ τοὺς λόγους τοῦ Καρδιναλίου ἐνωτισθέντες ἔστερξαν τὸν τῆς ἑνώσεως ὅρον. καὶ αὐτοὶ μετὰ συμφωνίας, ὡς ὅτε παρελθούσης τῆς περιστάσεως τῶν Τούρκων, καὶ γαλήνης γενομένης, καθίσαντές τινες τῶν ἐλλογίμων ἴδωσι τοὺς ὅρους, καὶ εἰ ἔστι τι τὸ μὴ τελείως ὀρθοτομοῦν, διορθώσωσι. Ἐν τῇ συμφωνίᾳ οὖν αὐτῇ ἔστερξαν τοῦ γενέσθαι λειτουργίαν κοινὴν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, τελεσθεῖσα παρ' Ἰταλῶν, καὶ Γραικῶν, καὶ μνημονεύσαντες τὸν Πάπαν Νικόλαον ἐν τοῖς διπτύχοις, καὶ τὸν ἐξόριστον Πατριάρχην Γρηγόριον.
D τὰ τῆς ἱερᾶς μυσταγωγίας ἐπληρώθη ἐν μηνὶ Δεκεμβρίῳ ιβ΄. τοῦ ,ϛϡνα΄. ἔτους. ἦσαν δὲ καὶ πολλοί, οἳ οὐκ ἔλαβον προσφορὰν ἀντιδώρου, ὡς βδελυκτὴν θυσίαν τελεσθεῖσαν ἐν τῇ ἑνωτικῇ λειτουργίᾳ. Ὁ δὲ Καρδινάλιος ἀνιχνεύων πᾶσαν καρδίαν, καὶ πάντα σκοπὸν τῶν Γραικῶν, οὐκ ἐλάνθανον γὰρ τὰ μαγγανεύματα καὶ αἱ ἀπάται τῶν Γραικῶν αὐτόν· ἀλλ' ὡς τοῦ αὐτοῦ γένους ὤν, σὺν ὀλιγωρίᾳ ἐσπούδαζε βοηθῆσαι τῇ πόλει· καὶ ἀρκεῖ πρὸς ἀπολογίαν τοῦ Πάπα ὅσον γέγονε, τὸ δὲ πλέον ἀνετίθετο τῷ Θεῷ τῷ πάντα οἰκονομοῦντι πρὸς τὸ συμφέρον. Ἀλλ' ὁ λαὸς ὁ ἀπειθής, καὶ μισόκαλος, ἡ ῥίζα τῆς ὑπερηφανίας, ὁ κλάδος τῆς κενοδοξίας, τὸ ἄνθος τῆς ὑψηλοφροσύνης, ἡ τρυγία τοῦ γέ-
E νους τῶν Ἑλλήνων, ἡ καταφρονοῦσα τὰ γένη τῶν ἀνθρώπων καταφρόνησις ἀληθινή, πάντα τὰ γενόμενα ἐλογίζοντο ὡς μὴ γενόμενα· ἔλεγον οὖν ὁμιλοῦντες οἱ τῆς ἑνώσεως τοῖς σχισματικοῖς. ἄφετε ἴδωμεν εἰ ἐξάρει ὁ Θεὸς τὸν ἐχθρὸν τοῦτον τὸν ἀνθιστάμενον ἡμῖν, τὸν μέγαν δράκοντα τὸν καυχώμενον ἄρδην καταπιεῖν τὴν πόλιν, καὶ τότε ὄψεσθε εἰ τοῖς Ἀζυμίταις ἡμεῖς ἡνώθημεν. Ταῦτα λέγοντες καὶ ἐγ-

νῦν οἱ ἄθλιοι, ὅτι ὁ τοσοῦτοι ὅρκοι ἕνεκα τῆς συστάσεως, καὶ ὁμονοίας τῶν Χριστιανῶν, ἤγουν τῶν ἐκκλησιῶν· ἡ ἐν τῷ Λουγδούνῳ γενομένη σύνοδος ἐν ταῖς ἡμέραις τοῦ πρώτου Παλαιολόγου, ἡ ἐν Φλωρεντίᾳ γενομένη σύνοδος ἐν ταῖς ἡμέραις τοῦ ὑστάτου τῶν Βασιλέων Παλαιολόγων, καὶ νῦν ἐν τῇ θείᾳ, καὶ ἱερᾷ μυσταγωγίᾳ αὐτῇ· οἱ γενόμενοι σὺν ἀφορισμοῖς ἀλύτοις ἐπ' ὀνόματι τῆς ἁγίας Τριάδος, μέλλουσιν ἐξᾶραι τὸ μνημόσυνον αὐτῶν ἐκ γῆς, καὶ σὺν αὐτοῖς τὸ τῆς πόλεως. ὦ ἄθλιοι τί κενὰ μελετᾶτε ἐν ταῖς καρδίαις ὑμῶν; ἰδὲ, οἱ ἱερεῖς σου καὶ αἱ ἱέρειαι, καὶ οἱ μοναχοί σου, καὶ οἱ νεωκόροι, καὶ αἱ νεωκόραι, οἳ οὐκ ἤθελον κοινωνῆσαι τοῦ ἀχράντου σώματος, καὶ αἵματος ἐκ τῶν χειρῶν τῶν ἱερέων τῶν Γραικῶν, τῶν ὑπουργούντων τὰ θεῖα κατὰ τὴν ἐκκλησιαστικὴν τῆς ἀνατολῆς παράδοσιν· λέγοντες μεμιασμένα ὑπάρχειν, καὶ οὐκ εἶναι Χριστιανικὰ, καὶ τὴν εὐλογίαν τῶν ἱερέων ἀποφεύγοντες, καὶ τοὺς ναοὺς βωμοὺς καλοῦντες, αὔριον ἐν χερσὶ τῶν βαρβάρων παραδοθήσονται, καὶ μιανθήσονται, καὶ μολυνθήσονται καὶ ψυχὴν, καὶ σῶμα· εἶδον γὰρ οἰκείοις ὄμμασι μονάστριαν, καὶ τὰ θεῖα λόγια μεμυημένην, οὐ μόνον κρεωφαγοῦσαν, καὶ ἄμφια τῶν βαρβάρων τῷ σώματι περιφέρουσαν. ἀλλὰ καὶ τῷ ψευδοπροφήτῃ θυσίαν φέρουσαν, καὶ τὴν ἀσέβειαν ἀνεπαισχύντως ὁμολογοῦσαν. Ἀλλὰ τί τὸ ποιῆσαν με παδῆσαι πέντε μηνῶν διάστημα; αὔριον γὰρ κἀκεῖνο καὶ παραπόδας σταθήσεται, καὶ μετ' οἰμωγῶν λεχθήσεται· Ὁ Βασιλεὺς οὖν στείλας τινὰς τῶν αὐτοῦ ἀρχόντων ἐν ταῖς νήσοις, καὶ ἐν ἑτέραις ἐπαρχίαις τῶν Χριστιανῶν ὠνήσασθαι σῖτον, καὶ παντοδαπὰ ὄσπρια, καὶ ὅσα τὰ πρὸς τροφὴν, ἐκδεχόμενοι τὴν ἄφιξιν τοῦ τυράννου ἐν ἔαρι. ἦσαν οὖν νῆες τέσσαρες παμμεγέθεις συνάγουσαι ἐκ πάντων τῶν χρειωδῶν ἐν τῇ νήσῳ Χίῳ, σίτου, οἴνου, ἐλαίου, ἰσχάδων, κερατίων, κριθῶν, καὶ πάσης ἄλλης ἰδέας ὀσπρίων. ἐκδεχόμενοι καὶ ἑτέραν φορτηγὸν ναῦν ἀπὸ Πελοποννήσου. καὶ οὕτω γενομένων πέντε σὺν μεγάλοις καὶ ἀνδρείοις ἐπιβάταις, λέγω δὲ καὶ πολλοῖς, καὶ σὺν πανοπλίᾳ οὐκ ὀλίγῃ πλεύσειν ἐν Κωνσταντινουπόλει. ἦσαν οὖν ἅπασαι αἱ νῆσοι ἐν στενοχωρίᾳ, καὶ ἀθυμίᾳ περὶ τῆς πόλεως. καὶ οἱ μὲν ἐσκόπουν ὡς καταπολεμηθήσεται, καὶ ὑπὸ τῶν βαρβάρων ἁλωθήσεται. οἱ δὲ ἐδόξαζον, ὡς ὁ πατὴρ καὶ πάππος αὐτοῦ, βουληθεὶς ὡς ἕκαστος τοῦ λαβεῖν αὐτὴν, ἐφάνησαν εἰς κενὸν κοπιακότες, οὕτω καὶ οὗτος τὴν αὐτὴν τρίβον βαδιεῖ·

A *pertum vobis tunc, clarumque erit, ea cum Azymitis in concordiam & amicitiam redierimus.* Hæc cum jactarent miseri, eorum mentem non subibat tantum toriesque ab ipsis repetitum, pacis ac concordiæ Christianarum Ecclesiarum stabiliendæ causa, jusjurandum; cum in concilio Lugdunensi, dum regnabat Palæologorum primus; tum in Florentino sub imperatore Palæologinæ stirpis ultimo, ac nupertime inter sacram liturgiam celebrandum: ob repetitum, inquam, jusjurandum (spretumque) excommunicationis insolubilis conditione in S. Trinitatis nomine addita, memoriam eorum ac urbis inter homines delendam fore. Ut quid inanibus futilibusque cogitationibus animos vestros pascitis? Ecce sacerdotes B tui, monachi, moniales æditui & æditimæ, qui ministrantibus sacerdotibus Græcis, & rem divinam secundum Ecclesiæ orientalis ritum & traditiones peragentibus, immaculati corporis & sanguinis participes fieri noluerunt: polluta esse sacrificia nec Christiana dicentes, benedictionem sacerdotum aversati, templaque pro gentilium aris habentes, in barbarorum manus anima & corpore polluendi cras devenient. Monialem enim in divinis scripturis initiatam ac eruditam, carnibus non tantum vesci, barbara veste indutam oculis meis adspexi, sed etiam Pseudoprophetæ hostiam offerre: impietatemque, pudore ac verecundia abjectis, profiteri. At quomodo abreptus quin- C que mensium intervallum transilii? Crastinus dies hanc calamitatem cum lachrymis enarrandam secum feret. Imperator, quod vere ineunte a Tyranno se obsessum iri suspicaretur, in insulas aliasque provincias Christianas, ad frumentum omniaque leguminum genera, & quæcumque cibaria necessaria coemendum aliquos e proceribus aulæ suæ misit. Ad id quatuor naves magnæ in insulam Chium destinatæ, quibus frumentum, vinum, oleum, caricæ, cicer, hordeum cæteraque legumina adveherentur: navis insuper oneraria e Peloponeso expectabatur. Hæcque navium quinque simul junctarum classis fortibus ac generosis vectoribus multis, armatisque non paucis D instructa Constantinopolim profectura erat. Omnes interea insulæ de urbis salute anxiæ admodum ac sollicitæ, variis opinionibus ac sententiis distrahebantur: alii expugnandam a barbaris, & occupandam conjiciebant. Alii quomodo pater & avus istius, suo quisque tempore, hanc expeditionem susceperant, & re infecta discesserant, ita hanc iisdem vestigiis insistentem, non plus profecturum opinabantur.

Monialis apostata musulmanissans.

Constantinus comportari cibaria in urbem curat.

Edit. Parif. pag. 145.

CAPUT XXXVII.

Mehemetes tormentum illud æneum seu bombardam prope Constantinopolim vehi curat. Turci urbes ad Pontum Euxinum sitas occupant, & præter Selymbriam oppida Propontidi adjacentia. Græci intra muros Constantinopoleos inclusos se tenent, discordiaque ob reconciliatam Ecclesiarum concordiam laborant. Gennadius discordiæ faces subdit. Ducas male sanam mentem Græcis exprobrat, & in schismate pertinaciam. Mehemetes copias colligit. Obsidione urbem cingit, & Græci ab unione Ecclesiarum alienos magis ac magis se ostendunt.

Tormentum æneum prope Constantinopolim adductum.

A JANUARIO mense elapso, sub Februarii initium, prope Constantinopolim tormentum æneum advehi jussit princeps: sexaginta boves validissimi triginta curribus juncti illud trahebant; ab utroque tormenti latere ducenti homines incedebant, ut id, ne in via titubaret, hac & illac trahendo in æquilibrio retinerent. Currus præcedebant fabri quinquaginta, operariique ducenti, qui pontes ligneos ad complanandas vias fabricarent. Elapsi sunt itaque Februarius & Martius, cum in locum quemdam milliaribus quinque ab urbe dissitum tractum est.

Urbes ad Pontum Euxinum sitæ Turcis se dedunt.

Caracia Begus antea cum copiis ad Ponti oppida Mesembriam, Acheloum, Byzum & alia præmissus, ea ad deditionem compulit. B Versus Selymbriam quoque, sancti Stephani turres, omnibus qui intra erant cæsis, vi expugnavit. Cætera castella, & qui Epibatæ vocabantur, se dedidere. Quotquot victori se permiserunt servati, repugnantibus capita abscissa sunt;

Selymbria urbs ad Propontidem Turcis resistit.

una Selymbria hostium impetum fortiter excepit. Ad locum itaque destinatum hæc machina perducta est, cujus custodiæ Caracia-begus adsidere jussus,

Ager Constantinopolitanus occupatur.

cumque omnibus viribus, & copiis in omnes partes urbi vicinas, Romæis intra portas urbis coercitis, excurrere. Per totam quoque superiorem hyemem Mysorum ac Paphlagonum turmæ sub tribus vexillis circa urbem in hybernis stationem habuerunt;

Græci intra muros Constantinopoleos inclusi.

ut Romæorum in Turcos eruptiones reprimerent; nec eos urbe excurrere sinerent. C Romæi quidem extra portas prodire non poterant, tantis hostium viribus circumdati; verumtamen biremibus, ac triremibus mare excurrebant, prædis ab usque Cyzico ex Turcorum vicis maritimis actis, captivis etiam multis, quorum pars cæsa, pars Constantinopoli vænumdata est.

Edit Paris. pag. 146.

Religionis causa magna inter Græcos dissidia.

Dum ver adventabat hisce pugnis levibus tempus transactum, jejuniorumque dies numerari cœpit, nec interim Ecclesiæ discidium cessabat. Omnium conspectui portentosa discordia obversabatur, in studia contraria discedentibus iis, qui confessiones audiendi munere fungebantur. Ad eos enim accedentes Christiani peccata sua confessuri, interrogabantur, num cum iis, qui ab Ecclesiæ communione D rescissi sunt, communicassent; num ab Henotico celebratæ liturgiæ interfuissent; fatentibusque pœnitentiæ causa dura pœna inflicta, mulctaque gravis dicta. Peracta deinde ex more pœnitentia, qui participatione corporis & sanguinis Dominici dignus censebatur, illa per-

A ΠΑΡΕΛΘΟΝΤΟΣ οὖν τοῦ Ἰανουαρίου μηνὸς, καὶ τοῦ Φεβρουαρίου ἄρξαντος ἐκέλευσε τὴν χωνείαν μετακομισθῆναι ἐν τῇ Κωνσταντινουπόλει, καὶ ζεύξας ἀμάξας τριάκοντα, εἷλκον αὐτὴν ὄπισθεν ξ' βόες, λέγω βόες βοῶν. καὶ ἐν πλαγίᾳ τῆς χωνείας ἄνδρες σ' καὶ εἰς τὸ ἓν, καὶ εἰς τὸ ἕτερον, τοῦ ἕλκειν καὶ ἐξισοῦν αὐτὴν, ἵνα μὴ ὀλισθήσοι τοῦ δρόμου. καὶ ἔμπροσθεν τῶν ἀμαξῶν τέκτονες ν', τοῦ κατασκευάζειν γεφύρας ξυλίνους εἰς τὰς ἀνωμαλίας τῆς ὁδοῦ, καὶ ἐργάται σὺν αὐτοῖς σ'. Ἐποίησε γοῦν τὸν Φεβρουάριον καὶ Μάρτιον ἕως οὗ κατήντησεν ἐν τόπῳ μακρὰν τῆς πόλεως ἀπὸ μιλίων ε'. ἦν δὲ ὁ Καρατζίαπεγις πρὸ καιροῦ σταλθεὶς σὺν δυνάμει εἰς τὰ τοῦ Πόντου κάστρα, ἤγουν B Μεσήμβρειαν, Ἀχελῶον, Βυζὰν, καὶ τὰ λοιπὰ, καὶ πρὸς ἑαυτὸν ἐποιήσατο. ὁμοίως καὶ τὰ πρὸς τὴν Σηλυμβρίαν κείμενα πύργια τοῦ ἁγίου Στεφάνου σὺν πολέμῳ λαβὼν πάντας τοὺς ἔνδον κατέσφαξεν· οἱ δὲ λοιποὶ πύργοι προσεκύνησαν, καὶ οἱ Ἐπιβάται. ὅσοι γοῦν παρεδόθησαν ἀβλαβεῖς ἐσώθησαν, οἱ δὲ ἀντισταθέντες ἀπεκεφαλίσθησαν. ἡ δὲ Σηλυμβρία μαχίμως ἀνθίστατο. φέροντες οὖν τὴν σκευὴν ἐν τῷ τόπῳ ᾧ ἐκελεύσθησαν καὶ τῷ Καρατζίαπεγ πρόσταγμα τοῦ φυλάττειν αὐτὴν, ἔφθασε σὺν τῇ δυνάμει, καὶ κατατρέχειν τὰ πέριξ τῆς πόλεως, καὶ μὴ ἐᾶν τοὺς Ῥωμαίους τῶν πυλῶν τῆς πόλεως ἐξέρχεσθαι. ἦσαν δὲ καὶ τὸν χειμῶνα ὅλον ἐκεῖ παραχειμασθέντα σκῆπτρα εἰς φυλακὴν τῆς πόλεως, τοῦ μὴ C ἐξέρχεσθαι, καὶ καταδρομὰς ποιεῖν τοὺς Τούρκους οἱ Ῥωμαῖοι, ἐκ Μυσίας, καὶ Παφλαγονίας τρία. ἐγένετο οὖν ἡ παρεμβολὴ μεγάλη, καὶ οἱ Ῥωμαῖοι οὐκ ἴσχυον ἐξελθεῖν· ἀλλ' ὅμως ἐκ θαλάσσης, καὶ αὐτοὶ σὺν διήρεσι, καὶ τριήρεσι ἄχρι Κυζίκου ἐληλάτουν τὰ κατ' αἰγιαλὸν κείμενα χωρία τῶν Τούρκων. καὶ πολλοὺς ἐκούρσευον, καὶ οὓς μὲν ἔσφαττον, οὓς δὲ ἐν Κωνσταντινουπόλει ἀγαγόντες ἐπίπρασκον. Καὶ σὺν αὐτοῖς τοῖς προσκρούσμασι καὶ ἔαρ ἐπέστη, καὶ αἱ τῶν νηστειῶν ἡμέραι ἤρξαντο ἀριθμεῖσθαι. καὶ ἡ τῆς ἐκκλησίας στάσις οὐκ ἔληξε, ἀλλ' ἦν ἰδεῖν ξένην στάσιν ἐν τοῖς ἐμπιστευθεῖσι ἀκούειν λογισμοὺς ἀνθρώπων. οἱ γὰρ ἐρχόμενοι οἱ Χριστιανοὶ τοῦ ἐξομολογήσασθαι τὰ σφάλματα αὐτῶν, ἠρωτῶντο παρ' ἐκείνων, εἰ μὲν ἐκοινώνησε D τοῖς ἀκοινωνήτοις, καὶ εἰ ἔτυχεν ἀκοῦσαι λειτουργίαν παρὰ τοῦ ἑνωτικοῦ ἱερέως. Ταῦτα καὶ κακῶν δεσμοὺς, καὶ ἐπιτίμιον βαρύ. μετὰ δὲ τὸ διελθεῖν τὸν κανόνα κατὰ τὸ ἔθος, ὁ ἄξιος τοῦ σώματος καὶ αἵματος τοῦ δεσποτικοῦ εἰς τὸ κοινωνῆσαι, μὴ προσελθεῖν τοῖς τῆς ἑνώσεως ἱερεῦσι μετ' ἐπιτιμίου βαρέος. οὔτε γὰρ ἐν-

ρεῖς εἰσίν, οὔτε τὰ προσφερόμενα τέλεια ἔλεγον. εἰ γὰρ ἐκαλοῦντο ἐν κηδείᾳ νεκροῦ, ἢ ἐν μνημοσύνῳ τεθνεῶτος, καὶ ἐφαίνετο τὶς τῶν ἑνωτικῶν ἐκεῖ ἱερεύς; κατευθὺς τὰς φελώνας ἐκδυόμενοι ὡς ἀπὸ πυρὸς ἔφευγον. καὶ ἡ μεγάλη ἐκκλησία ὡς καταφύγιον δαιμόνων, καὶ βωμὸς Ἑλληνικὸς αὐτοῖς ἐλογίζετο. ποῦ κηροί; ποῦ ἔλαιον ἐν ταῖς λυχνίαις; τὰ πάντα σκοτεινά, καὶ οὐδεὶς ὁ κωλύων. ἔρημον τὸ ἅγιον τέμενος ἐφαίνετο, προσημαῖνον τὴν ἐρημίαν ἣν ὑποστῆναι μέλλει μετ' ὀλίγον, διὰ τὰς παραβάσεις, καὶ ἀνομίας τῶν κατοικούντων. Ὁ δὲ Γεννάδιος ἔγκλειστος ἐδίδασκε, καὶ ἀρὰς ὑπετίθει τοῖς τὴν εἰρήνην ἀσπαζομένοις. Ἔτυχον ἐγὼ μετὰ ταῦτα μιᾷ τῶν εὐγενίδων αἰχμαλωτισθείσῃ, καὶ διηγήσατό μοι, πῶς ὠδίνουσα τῷ πρὶν τῇ ἁγίᾳ καὶ μεγάλῃ τετράδι τοῦ ἔτους ἐκείνου, μετεκαλέσατο τὸν πνευματικὸν αὐτῆς Ἰάκωβον ὀνόματι, καὶ ἐξωμολογήσατο. καὶ αὐτὸς προέτρεψεν αὐτὴν τοῦ κοινωνῆσαι, καὶ αὐτὴ ἐρωτήσασα τὸν γέροντα, εἰ κωλύει τί τοῦ μεταλαβεῖν ἐκ τῶν χειρῶν τοῦ ἱερέως, τοῦ λειτουργοῦντος ἐν τῷ ναῷ αὐτῆς, ἔνδον τῆς αὐλῆς αὐτῆς ὑπάρχοντι, (ἦν γὰρ ὁ ἱερεὺς συμφορήσας τοῖς ἑνωτικοῖς μόνον ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τότε τῇ ιβʹ τοῦ Δεκεμβρίου, οὐ μὴν δὲ καὶ συγκοινωνήσας. οὐ γὰρ ἔτυχεν ἐξ ἀρχῆς συναριθμηθῆναι τοῖς συλλειτουργοῖς τοῦ θυσιαστηρίου, ἀλλ' ἔτυχεν ἔξω σὺν ἄλλοις βραδεῖον τυχόντες τοῦ ἐλθεῖν, καὶ ἵσταντο ἐν τῷ ναῷ φοροῦντες τὰς ἱερατικὰς αὐτῶν στολὰς μόνον.) ὁ δὲ πνευματικὸς εἶπεν αὐτῇ· συγκεχωρημένον ἐστίν, ὁ Θεὸς συγχωρήσει σοι, ἄπελθε, κοινώνησον ἀποβάλλουσα πάντα σκοπόν. καὶ γὰρ ἱερεύς ἐστι καὶ λειτουργός, ἀδιακρίτως κοινώνησον. ἡ δὲ ἐπὶ τῇ ἀνεμποδίστῳ ἀπολογίᾳ τοῦ γέροντος δειλιάσασα, ἦν γὰρ ἐκ τοῦ μέρους τῶν σχισματικῶν, μετακαλεῖται ἄλλον Νεόφυτον ὀνόματι, καὶ δηλοῖ αὐτῷ τὴν λύσιν τοῦ πνευματικοῦ αὐτῆς. ἦν γὰρ αὐτὸς ὁ Νεόφυτος παρρησίαν ἔχων, καὶ πνευματικὸς ὢν ἐν ἀνακτόροις, καὶ μεγιστάνων οἴκοις. ἐκώλυσε δὲ ταύτην, λέγων, ἀσυγχώρητόν ἐστιν. εἰ γὰρ λάβοις κοινωνίαν ἐκ τῶν χειρῶν αὐτοῦ, ἄρτον ἔφαγες, καὶ οἶνον ἔπιες. ὢ τῆς ἀνοχῆς σου Χριστὲ Βασιλεῦ. ἐσκοτισμένε, καὶ τυφλέ. εἰ ὁ ἱερεὺς ἦν Λατῖνος, εἶχεν ἂν λόγον ἄλογον ἡ μωρία σου. ὡς ὅτι Λατινικῶς τὰς εὐχὰς τῷ Θεῷ ἀπέδωκε, καὶ ὁ ἄρτος οὐκ ἦν ἔνζυμος, καὶ τὸ ὕδωρ οὐκ ἦν ζέον, καὶ ἄλλα τινὰ ἄλογα αἰτιάματα, ἃ οὐκ ἔξεστιν ὀρθοδόξῳ στόμα ἀνοῖξαι, καὶ γλῶτταν κινῆσαι κατὰ τῶν θείων μυστηρίων τῶν οὕτω τελουμένων. ὁ γὰρ τοῦτο τολμήσας ἄξιος λιθοβοληθῆναι. Πῶς; τί ἔχεις ἀπολογήσασθαι περὶ τῶν θείων μυστηρίων τῶν τελεσθέντων ἐκ γλώττης σῆς, καὶ εὐχῶν ὧν σύ, καὶ οἱ τῆς ἀνατολῆς ἱερεῖς χρῶνται; οὐκ ἔχεις ἄλλο εἰπεῖν, ὦ φαρισαῖε κενέ, πλὴν ὅτι καθαρὸς εἶ, καὶ μολυσμοῦ ἀμέτοχος, καὶ κεχωρισμένος τῶν λοιπῶν χριστιανῶν, προσθήσω δὲ κἀγώ τι, καὶ ἀφωρισμένος. ἡ δὲ εὐγενὴς ἐκείνη γυνὴ διχονοοῦσα ἐν μέσῳ τῶν δύο τούτων προστάξεων, ἐκωλύθη ὑπὸ τοῦ λογισμοῦ, καὶ τῇ ἡμέρᾳ ἐκείνῃ οὐ μετέλαβε. καὶ διὰ τῆς νυκτὸς ἀκοινώνητος τέτοκεν. εἰ γὰρ ἐπηκολούθησε θάνατος, εἶχεν ἂν ἡ ψυχὴ αὐ-

A cipere a sacerdote Henotico, gravi pœna indicta, vetabatur: talem enim sacerdotem non esse, nec perfecte oblationem ab eo peragi. Ad funus porro efferendum, vel mortui commemorationem faciendam vocati, ubi Henoticus sacerdos illic comparuisset, stolis subito exuti, velut e flammis medus se proripiebant. magna etiam Ecclesia Dæmoniorum specus, & Græcorum gentilium delubrum censebatur. Ubi ceræ? ubi oleum in lychnis accendendis? omnia tenebris plena: nec ullus, qui eas dissiparet, aderat. Templum sacrum desertum conspiciebatur: solitudinem, qua mox, propter peccata & iniquitates in eo habitantium, complendum erat, portendens. Gennadius etiam inclusus, pacis reconciliationem B amplectentes diris devovendo interim docebat. Post urbem captam, in nobilem fœminam captivam casu incidi: quæ mihi narravit, quomodo ipsa partus doloribus correpta anni illius sancta magnaque feria quarta, Pneumaticum seu confessarium suum, Jacobum nomine, ad se vocaverat: quam, peccatorum confessione peracta, hortatus est ille, ut sacram communionem sumeret. Cumque Senem illem interrogasset, num obstaret quicquam, ut ex manibus sacerdotis, qui in templo intra domus suæ septa sito celebrabat, sumeret, (ille quippe sacerdos die tantum XII Decembris in magna Ecclesia Henoticis adsuerat, nec communicaverat, cum in numerum altari mini- C strantium ab initio liturgiæ adlectus non fuisset; sed extra cancellos cum aliis, qui tardius venerant, nihilque aliud præter sacra indumenta gestaverant, steterat.) Pneumaticus ei dixit: *Tibi concessum est, Deus condonabit tibi; abi, & communionem, omni dubio remoto, percipe. Ipse sacerdos et minister est, discrimine illo omisso communica.* Illa vero mulier, quod a schismaticorum partibus staret, scrupulose nimis perpensa senis, qui omnes obices revellebat, sententia, alium nomine Neophytum confessarium accersit: eique a Pneumatico suo datam sibi licentiam declarat. Iste porro Neophytus loquendi libertatem ac confidentiam sibi assumpserat, quod Pneumatici munere in Imperatoriis D palatiis, procerumque ædibus fungeretur: quare illam allocutus a communione his verbis deterruit: *Id tibi haud licet, si enim ex istius manibus communionem sumpseris, panem manducabis, & vinum bibes.* Quam admiranda Rex Christe longanimitas tua! Etsi sacerdos Latinus esset, stultitia tua, tenebris excæcate, aliqua, quamvis absurda, ratione excusari posset. Quod scilicet Latino sermone ad Deum preces recitasset, quod non esset fermentatus panis, nec aqua calida adhibita; aliaque absurda allegare potuisses, quæ orthodoxus tamen ore nunquam proferret; nec, vel minimum, adversus divina mysteria hoc modo peracta murmurabit; talis enim quilibet ausus, lapidibus obruendus est. Quid? vel quomo- E do obloqui potes divinis mysteriis idiomate tuo celebratis? quid illis precibus opponere? quibus tibi cum cæteris orientis sacerdotibus communis est usus. Aliud allegare non potes, o Pharisæe vane, nisi quod purus es, & intactus, a cæterisque Christianis separatus, addam ego, & excommunicatus. Illa porro mulier nobilis inter contraria præcepta animo fluctuans communione die illo absti-

Gennadius faces discordiæ subdit.

Exemplum illius discordiæ. Mos prægnantibus sacram Eucharistiam imminente partu sumere.

Edit. Paris. pag. 147.

Verba stultæ insolentiæ Græci adversus Ecclesiarum unionem.

nait; ita ut nocte sequenti, non sumpta prius Eucharistia, pepererit. Quod si mors subsequebatur, damno spiritus illius anima obsignata fuisset (id est damnum, non accepto spiritus divini signaculo, anima illius passa fuisset) Neophyti culpa, & mali spiritus, quo agebatur, errore. Sed redeamus ad narrationis nostræ fluctus: & mari furens, gubernatore excusso, arcam Noe absorbere, & in profundum deprimere intueamur, mundaque volatilia, tamquam immunda, impullutorum

Mehemetes copias colligit. unguibus discerpenda projicere contemplemur. Tyrannus enim Martio incipiente nuntiis in omnes provincias missis, singulos ad urbem oppugnandam militatum venire jussit. Cuncti ergo, qui datis nominibus stipendia merebant, accesserunt; numero infinito eorum, qui sponte castra sequebantur, iis adjuncto. Universi enim, qui urbem oppugnandam esse audierunt, tam pueri ob ætatem teneram via gradientes, quam senes annis gravati, accurrerunt. Constantinopolitani interim Deo supplicare, ut hebdomada sancta Tyrannus, qui curru adventare nunciabatur, urbis oppugnationem non aggrederetur. Die igitur parasceves Diacæ-

Edit. Paris. pag. 148. Constantinopolis obsideri cœpit anno 1453. nesimæ septimanæ (id est feria vi. seu die Veneris post Pascha) ad portas Hierusalem Nabuchodonosor venit: & tentoria sua ante Charsi portam post collem fixit. A porta vero, quæ Ligni appellatur, palatio vicina, usque ad Auream portam, quæ meridiem respicit; abeadenque Ligni porta usque ad Cosmedium & meridiem versus, quantum vineta a Caracia jam devastata in latitudinem capere poterant, omnes ejus copiæ castra locaverunt; Aprilis ergo die sexta, parasceve post Pascha ob-

Sanctæ Sophiæ templum desertum. sidione urbem cinxit Mehemetes. Constantinopolitani a quo die in Ecclesia magna facta est concordiæ reconciliatio, illam ut Judæorum Synagogam refugiebant; nec in ea oblatione, holocausto aut incenso litabatur. Si quis sacerdotum divinam liturgiam die aliquo insigni celebrare voluisset, qui precabantur, quousque ad oblationem sacrorum donorum ventum fuisset, adstabant: deincepsque omnes tam mulieres quam viri, monachi atque moniales exibant. Quid pluribus opus est? templum illud pro delubro

Isaiæ Prophetæ verba. & ara gentilium, & sacrificium perinde ac Apollini factum, æstimabant. Quare Isaias tamquam ex ore Dei sic loquitur, (Ecce, ut hunc populum transmigrare faciam, paratus ero; translatione eum transferam: sapientiam eorum qui sapiunt, disperdam; prudentiumque prudentiam dissipabo. Væ illis qui profunda consilia, non expetito Domini consilio, ineunt. qui consilia occulta capiunt, tenebrisque opera sua abscondunt. qui dicunt, quis nos videbit? quis nos vel opera nostra cognoscet? Propterea hæc dicit Dominus. Væ filiis Apostatis, consilium me inconsulto habuistis: utque peccata pec-catis adjiceretis, pacta, spiritu meo nequaquam ducti, pepigistis.) Gennadius

Gennadius adversatur unioni Ecclesiarum. interim adversus Henoticos docere ac scribere singulis diebus non cessabat: & sapientissimum beatumque Thomam Aquinatem ejusque scripta, Demetrium etiam Cydonem hæresis arguere contendens, rationes syllogismosque adversus eos texebat. Conscius ei erat, operisque socius, e Senatoribus primus Mesazon, idemque Dux magnus; cujus contra Latinos, magis vero contra ipsam urbem,

A τὴν σφραγῖδα ζημίαν τοῦ Πνεύματος, δι' αἰτίαν τοῦ Νεοφύτου, καὶ τοῦ κατοικοῦντος ἐν αὐτῷ πονηροῦ πνεύματος. Ἀλλ' ἐπανίωμεν πρὸς τὰ τῆς διηγήσεως κύματα, καὶ ἴδωμεν τὴν ἀγριαινομένην θάλασσαν πῶς μέλλει χάναι, καὶ καταποντίσαι τὴν κιβωτὸν, τὴν τὸν Νῶε τὸν κυβερνήτην διώξασαν, καὶ τὰ καθαρὰ πετεινὰ ὑπὸ τῶν μὴ καθαρῶν ὡς ἀκάθαρτα παραβλέψασαν. Ὁ γὰρ τύραννος ἀπ' ἀρχῆς Μαρτίου μηνὸς ἔπεμψε μηνυτὰς, καὶ κήρυκας εἰς πάσας τὰς ἐπαρχίας, τοῦ ἐξέρχεσθαι ἕκαστον ἐν τῇ στρατιᾷ κατὰ τῆς Πόλεως. τὰ στρατεύματα μὲν οὖν, ὅσα διὰ προσόδων καὶ ῥόγας ἦσαν γεγραμμένα, συνέῤῥεον· τὰ δὲ ἄγραφα τίς καὶ μυ-

B θεύματα τίς διηγήσεται; πᾶς γὰρ ἕκαστος ἀκούων κατὰ τῆς Πόλεως ἔτρεχεν, οὕτως ὁ μὴ δυνάμενος βαδίζειν ἕνεκα παιδικῆς ἡλικίας, καθὼς ὁ μὴ δυνάμενος τρέχειν ἕνεκα γήρως. οἱ δὲ πολῖται ἱκέτευον τὸν Θεὸν, τοῦ μὴ ἐπελθεῖν τῇ ἁγίᾳ ἑβδομάδι· διότι ἤκουον ὡς ὁ τύραννος ἐφ' ἅρματος καὶ ἤδη ἔρχεται. τῇ παρασκευῇ οὖν τῆς Διακαινησίμου, καὶ ὁ Ναβουχοδονόσορ ἐπὶ θύραις Ἱερουσαλήμ. καὶ πήξας τὰς αὐτοῦ σκηνὰς κατέναντι τῆς πύλης τοῦ Χαρσοῦ ὄπισθεν τοῦ βουνοῦ. καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἀπὸ τῆς Ξυλοπόρτης, τῆς κειμένης ἐγγὺς τοῦ παλατίου, ἕως τῆς Χρυσῆς πύλης τῆς πρὸς νότον, καὶ ἔτι ἀπὸ τῆς Ξυλοπόρτης ἕως τοῦ Κοσμι-

C δίου, καὶ ἀπὸ τοῦ νότου εἰς πλάτος ὅσον περιέφερον κάμπον οἱ ἄμπελοι. καὶ γὰρ ἦσαν προλαβόντες φθαρέντες παρὰ τοῦ Καρατζία. καὶ περιεχαράκωσεν αὐτὴν Ἀπριλίῳ ϛ'. ἡμέρᾳ παρασκευῇ ἡ μετὰ τὸ πάσχα. οἱ δὲ τῆς Πόλεως ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ ἐγένετο τάχα ἡ ἕνωσις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, ὡς Ἰουδαίων συναγωγὴν ταύτην ἀπέφευγον, καὶ οὐκ ἦν ἐν αὐτῇ οὔτε προσφορὰ, οὔτε ὁλοκαύτωσις, οὔτε θυμίαμα. εἰ ἔτυχε τὶς τῶν ἱερέων λειτουργῆσαι Θεῷ ἐν ἡμέρᾳ ἐπισήμῳ, οἱ προσευχόμενοι μέχρι τῆς ὥρας τῆς προσφορᾶς ἵσταντο. καὶ τότε πάντες ἐξήρχοντο οὕτω γυναῖκες ὡς ἄνδρες, οὕτω μοναχοὶ ὡς μονάζουσαι. τί χρὴ λέγειν;

D καὶ τὸν ναὸν ὡς βωμὸν, καὶ τὴν θυσίαν ὡς Ἀπόλλωνι τελουμένην ἐνόμιζον. διὰ τοῦτο Ἡσαΐας ὡς ἐκ στόματος Θεοῦ φασίν. Ἰδοὺ προσθήσω τοῦ μεταθεῖναι τὸν λαὸν τοῦτον, καὶ μεταθήσω αὐτοὺς μεταθέσει, καὶ ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν αὐτοῦ, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω. Οὐαὶ τοῖς βαθέως ποιοῦσι βουλὴν, καὶ οὐ διὰ Κυρίου. οἱ ἐν κρυφῇ βουλὴν ποιοῦντες, καὶ ἔσται ἐν σκότει τὰ ἔργα αὐτῶν, καὶ ἐροῦσι· τίς ἡμᾶς ἑώρακε; καὶ τίς ἡμᾶς γνώσεται; ἢ ἃ ἡμεῖς ποιοῦμεν; διὰ τοῦτο τάδε λέγει Κύριος· οὐαὶ τέκνα ἀποστάται, ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου, τοῦ προσθεῖναι ἁμαρτίας ἐφ' ἁμαρτίαις. Ὁ δὲ Γεννάδιος οὐ διέ-

E λειπε καθ' ἑκάστην διδάσκων, καὶ γράφων κατὰ τῶν Ἑνωτικῶν, καὶ πλέκων συλλογισμοὺς, καὶ ἀντιφάσεις κατὰ τοῦ σοφωτάτου, καὶ μακαρίτου Θωμᾶ τοῦ δὲ Ἀκίνου, καὶ τῶν συγγραμμάτων αὐτοῦ, καὶ κυρίου Δημητρίου τοῦ Κυδώνη ἀποδεικνύων αὐτοὺς αἱρετικούς. ἔχων ἐκ τῆς συγκλήτου τὸν πρῶτον Μεσάζοντα τὸν μέγαν Δούκα συνεργὸν, καὶ συνίστορα. τὸν γὰρ τοσοῦτον εἰπεῖν πολεμήσαντα κατὰ Λατίνων, ὥστε

Digitized by Google

εἶδον οἱ Ῥωμαῖοι τὸν ἀναρίθμητον στρατὸν τῶν Τούρ- A κων, μᾶλλον δὲ καὶ τῆς πόλεως, κρεττότερον ἐστιν εἰδέναι ἐν μέσῃ τῇ πόλει φακιόλιον βασιλεῦον Τούρκων, ἢ καλύπτραν Λατινικήν. καὶ γὰρ ἀπογνόντες οἱ τῆς πόλεως ἔλεγον, εἴθε ἐδόθη ἡ πόλις ἐν χερσὶ τῶν Λατίνων τῶν ὀνομαζόντων τὸν Χριστὸν, καὶ Θεοτόκον, καὶ μὴ ἀπορριφθῶμεν ἐν ταῖς τῶν ἀσεβῶν παλάμαις. Τότε καὶ αὐτὸς ἐκεῖνο ἐφθέγξατο. ἀλλὰ πρὸς αὐτὸν ὁ Ἡσαΐας ἐφθέγξατο, καθὰ καὶ τῷ Ἐζεκίᾳ. Ἄκουσον τὸν λόγον Κυρίου Σαβαώθ. ἰδοὺ ἡμέραι ἔρχονται, καὶ λήψονται πάντα τὰ ἐν τῷ οἴκῳ σου. καὶ ὅσα συνήγαγον οἱ πατέρες σου ἕως τῆς ἡμέρας ταύτης, εἰς Βαβυλῶνα ἥξει, καὶ οὐδὲν οὐ μὴ καταλειφθῇ· καὶ ἀπὸ τῶν τέκνων σου B τῶν ἐξερχομένων ἀπό σου, ὧν γεννήσεις, λήψονται, καὶ ποιήσουσι σπάδοντας ἐν τῷ οἴκῳ τοῦ βασιλέως τῶν Βαβυλωνίων.

A temeraria impudentia eo usque prorupit, cum Turcorum ingenti exercitu se peti viderunt Romæi, ut dixerit; Turcorum mitram ac redimiculum in media urbe dominari, quam Latinorum galerum regnantem conspicere, potius esse. Cum interim Romæi omni salutis abjecta spe, hæcce vota conciperent: *Utinam in Latinorum potestatem, qui Christum ejusque matrem Deiparam invocant, urbs nostra deveniret, nec Turcis impiis traderemur*; quibus contraria, quæ retulimus, Mesazon prædicabat. Sed ad eum Isaias sicut & Ezechias locutus est. (Audi verbum Domini exercituum. Ecce dies veniunt, quibus, cuncta, quæ domi possides, diripientur; omnesque divitiæ a majoribus tuis comparatæ in Babylonem transferentur, nec B earum residui quicquam tibi supererit. Filii tui qui tibi nati sunt, etiamque nascituri, rapti emasculabuntur, & spadones facti in Regis Babyloniorum domo servient.)

Magni Ducis verba impia.

Edit. Paris. pag. 149.

CAPUT XXXVIII.

Constantinus & Galatini urbi tuendæ attendunt, atque etiam Veneti. Johannes Justinianus Constantinopolim cum militibus appulit, & ab Imperatore honorem maximo afficitur. Obsidionis initio erumpunt in hostes obsessi. Galatini Mehemetem sibi placatum volunt, Byzantinis tamen favent & opem ferunt. Mehemetis classis prope Constantinopolim accedit. Naves quinque cibariis onustæ Constantinopoleos portum, frustra Turcis obstantibus, ingrediuntur, & hac de causa Mehemetes Contostaulum suum Paldam contumelia verberibusque afficit. Mehemetes terra e Bosporo in sinum Ceratinum navigia & biremes transfert. Terra Constantinop. oppugnat Mehemetes & tormentis muros quassat. Medicamen tormentis ne disrumpantur adhibitum. Johannis Huniadæ legatus consilium pernicioſum adversus obsessos bombardario Mehemetis, falsa opinione ductus dedit. Muri urbis ad S. Romani portam diruti. Obsessi strenue resistunt, sed Constantinus percellitur & ut Mehemetem ad pacem & obsidionis solutionem adducat, vectigal offert, quod respuit Mehemetes. Justinianus infælici successum Turcorum biremes in sinu Ceratino incendere tentat. Turci Galatinorum navem demergunt. Pontem in Ceratino sinu Mehemetes fabricat.

Ὁ Βασιλεὺς οὖν Κωνσταντῖνος ὅσον δύναμις, ἐπιμελούμενος ἐπεμελεῖτο σὺν τοῖς τοῦ Γαλατᾶ Γενουίταις· καὶ γὰρ καὶ αὐτοὶ εἶχον κατὰ νοῦν ἀπαραίτητον λογισμὸν, ὅτι ἐὰν ἡ πόλις ἁλῷ, καὶ τὸ φρούριον αὐτῶν ἔρημον γενήσεται. ἐν τούτῳ στείλαντες ἐν τῇ Γενούᾳ προλαβὼν γραφὰς δεόμενοι βοηθείας, ἀντέγραψαν, ὡς ἤδη ἔρχεται μία ναῦς σὺν φ' ὁπλίταις εἰς βοήθειαν τοῦ Γαλατᾶ. καὶ αἱ τῶν Βενετίκων ἐμπορικαὶ τριήρεις κατελθοῦσαι ἐκ τῆς Μαιώτιδος λίμνης, καὶ τοῦ Τανάϊδος ποταμοῦ, καὶ ἐκ Τραπεζοῦντος. Ὁ βασιλεὺς οὖν, καὶ οἱ Βενέτικοι οἱ κατοικοῦντες ἐν τῇ πόλει, οὐκ εἴασαν αὐτὰς καταίρειν ἐν Βενετίᾳ, ἀλλ' ἔμειναν εἰς βοήθειαν τάχα τῆς πόλεως. ὁμοίως καὶ ἐκ τῆς Γενούας ἐλθὼν εἰς ὀνόματι Ἰωάννης Λόγγος ἐκ τῶν Ἰουστινιάνων σὺν δυσὶ ναυσὶ ὑπερμεγέθεσιν, ἔχων καὶ πολεμικὰς παρασκευὰς πολ-

C At vero Constantinus Imperator urbi tuendæ, quantum viribus pollebat, cum Genuensibus Galatæ incolis, erat intentus. Hi namque opinionem præceperant, a qua haud dimovere ipsos promptum, urbe capta, castrum suum etiam devastatum iri. Hac de causa Genuam litteras antea scripserant, quibus opem ac suppetias sibi mitti rogabant; ad quas Genuenses respondere, navem unam, quæ quingentos milites Galatæ castro tuendo veheret, ad eos proficisci. Venetorum etiam triremes actuarias commercio inservientes a Palude Mæoti, Tanai, & Trapezunte reversas, Imperator & Veneti, qui in urbe habitabant, retinuerunt, nec Venetias redire permiserunt; ut, si fors ita ferret, urbi auxilio & usui esse possent. Advenerat Genua Johannes Longus ex gente Justiniana, duabus navibus magnis vectus; quæ, præter multas machinas eximias cæterum-

Constantinus & Galatini urbi tuendæ attendunt.

Triremes Venetæ ab Imperatore & Venetis Constantinopoli stare jussæ.

Johannes Justinianus Longus.

que belli apparatum, militibus ætatis robore præstantibus ac generosis instructæ erant. Johannes ipse vir solers, in ordinanda acie, pugnisque incundis expertus ac peritissimus erat. Illum benigne suscepit Imperator stipendiaque ejus militibus solvit: præterea beneficiis, & Protostratoris exercituum dignitate eum cohonestavit. Is itaque urbis murorum partem palatio vicinam tuendi ac propugnandi onus suscepit; Nam Tyrannum tormenta ænea lapidibus emittendis parata, cæterasque ad oppugnandum machinas adversus illam partem collocare animadverterant. Imperator insuper aurea bulla Lemnum insulam Johanni Longo donavit, si Urbis obsidionem solvere coactus, frustra adhibitis machinis, reque infecta pedem Mehemetes referret. Latini Johanne Duce alias portis urbis erumpentes, alias in exteriori muro stantes, quandoque in fossam desilientes fortissime pugnaverunt. Sæpius etiam fossa superata Romæi vario successu, modo cedentes, modo captivos Turcos trahentes cum his manus conseruere. Hoc tamen Romæis minime conducebat; quippe vetum dictu adversus viginti Turcos Romæum unum stetisse. Cominus cum Turcis pugnando eruptione e portis facta, quid commodi ad eos redibat? Propterea consilium datum est, ut Romæi per propugnacula stationes habentes, alii quidem jaculis, alii sagittis pugnarent: alii cannis ferreis globulos plumbeos in hostes emitterent; hi quini vel deni, nucum Ponticarum magnitudine, pulvere ignescente simul emissi, vim perforandi ac penetrandi habent; ita ut, in hominem ferro armatum si ceciderit unus, clypeum & corpus transadactus pervadat, in aliumque obvium transiliat, & ab hoc in alium, donec vis pulveris refrigescat: hocque impetu duos vel tres homines interfici simul possibile. Machinam istam ejusque usum didicerunt, amplioremque fecerunt Turci. Aprilis mensis trientes duo paucis velitationibus subitisque præliis transacti sunt, dum Tyrannus novis copiis contractis exercitum suum augeret; ad quem multitudo innumerabilis militum, tam qui nomina vocati milites dederant, quam qui sponte venerant, confluxit; qui itaque illum considerabant, quadringenta hominum millia superare conjecerunt. Galatini equidem Genuenses, dum Tyrannus Adrianopoli adhuc ageret, destinatis ad eum legatis amicitiam integram illibatamque servare, renovatis scriptis olim fœderibus profitentur. Amicum se eis esse respondit, nullaque ab eis, quos diligeret, causa se divelli passurum, modo urbi auxilium ipsos non tulisse constaret: quod se haud facturos polliciti sunt. Veruntamen unus ab altero, quod successus probavit, delusus ac derisus est, Galatini enim, quomodo superioribus temporibus urbem bello petitam, ac obsidione ab illius majoribus, qui re infecta recesserant, frustra cinctam noverant, eumdem exitum hunc manere principem persuasi, Constantinopolitanis benevoli ac amici, ex oppidanis suis cohortes auxiliares miserunt: quodque Mehemetis amicitia ipsi valde suspecta erat, fictaque videbatur, clam urbi, prout ipsos decebdat, opem ferebant. Secum rursus hæc dicebat Tyrannus: *Serpentem dormire sinam, quousque Draconem occidero: ano*

Edit. Paris. pag. 150. Protostrator Justinianus a Constantino tuendam regionem urbis unam pugnat.

Lemnos Longo Justiniano data.

E portis urbis erumpunt obsessi, iedtiaum cessant, paucitatis militum ratione habita.

Quid actum in primis obsidionis diebus.

Galatini placatum Mehemetem habere student.

pag. 151. Galatini posthabitis cum Mehemete fœderibus, opem obsessæ urbi ferunt.

A λαὰς καὶ καλὰς, σὺν ἐνόπλοις νέοις Γενουΐταις ἀρειϊκὸν πνέουσι θυμόν. καὶ ὁ αὐτὸς Ἰωάννης ἐπιδέξιος ἀνὴρ, καὶ εἰς παρατάξεις, καὶ συνασπισμοὺς πολέμων δοκιμώτατος. ἐδεξιώσατο τοῦτον ὁ Βασιλεὺς, καὶ ῥόγας ἐμέτρησε τοὺς στρατιώτας αὐτοῦ, καὶ εὐεργεσίας ἔνειμε, καὶ πρωτοστράτορα τοῦτον ἐνόμασε, καὶ αὐτὸς τὴν φύλαξιν τῶν πρὸς τὸ παλάτιον κειμένων τειχέων ἀντελάβετο. καὶ γὰρ ἦσαν ὁρῶντες τὸν τύραννον ἐκεῖ τὰς σκελὰς τὰς πετροβόλους πηγνύοντα, καὶ τὴν ἄλλην πᾶσαν ἀντίμαχον ἐν τοῖς τείχεσι παράταξιν. εὐεργέτησε δὲ τοῦτον καὶ διὰ χρυσοβούλλου γράμματος τὴν νῆσον Λῆμνον· εἰ ἀποκρουσθήσεται ὁ Μεχεμὲτ, καὶ ὑποστραφήσεται ἄπρακτος, ἐξ ὧν θάρρει κερδάνει
B τῆς πόλεως. ἔκτοτε οὖν ἐμάχοντο ἡρωϊκῶς οἱ Λατῖνοι σὺν τῷ Ἰωάννῃ, ἐξερχόμενοι ἐκ τῶν πυλῶν τῆς πόλεως, καὶ ἱστάμενοι ἐν τῷ ἔξω κάστρῳ, καὶ ἐν τῇ τάφρῳ πολλάκις καὶ ἐπὶ τῆς τάφρου καταπηδῶντες, ἐσυνεπλέκοντο τοῖς Τούρκοις Ῥωμαῖοι, ποτὲ μὲν ἀφέντες, ποτὲ δὲ λαμβάνοντες· πλὴν τοῦτο οὐκ ἦν ἀπάδον τοῖς Ῥωμαίοις. καὶ γὰρ δύσκολον ἂν εἰπεῖν, εἴρηται ἕνα Ῥωμαῖον πρὸς εἴκοσι Τούρκους· Τί ἐδύναντο καταπροσωπῆσαι, καὶ ἐξελθεῖν; πλὴν ἡ βουλὴ ἐδίδοτο, ὥστε τοὺς Ῥωμαίους ἀντιμάχεσθαι ἐκ τῶν τειχῶν διὰ τῶν προμαχώνων, οἱ μὲν διὰ τζαγγρεβολικῶν βελῶν, οἱ δὲ διὰ τοξικῶν, ἄλλοι διὰ μολυβδοβόλων ἀπολυομένων διὰ βοτάνης πέντε καὶ δέκα ὁμοῦ, σμι-
C κρὰ ὡς κάρυα ποντικὰ τὸ μέγεθος, ἀποπλουτοῦντα δύναμιν τρώσεως· ὡς εἰ τύχοι ἐμπίσειν σιδηροφόρῳ σώματι, καὶ τὴν ἀσπίδα, καὶ τὸ σῶμα διατρήσας ἐξέρχεται, καὶ εἰς ἄλλο μεταπηδᾷ, εἰ τύχοι, εἶτα ἐξ αὐτοῦ εἰς ἕτερον ἕως οὗ ψυχρανθῇ ἡ δύναμις τῆς βοτάνης, καὶ διὰ μιᾶς προσβολῆς, δύναται ζημιῶσαι δύο καὶ τρεῖς. Ἔμαθον οὖν καὶ οἱ Τοῦρκοι, καὶ χρῶνται καὶ αὐτοὶ τὰ ὅμοια καὶ ἐπέκεινα. περανωθέντος οὖν τοῦ Ἀπριλίου τὸ δίμοιρον ἐν ὀλίγοις ἀντιμαχίσιν, ὁ γὰρ τύραννος εἰς πλέον ἠθροίζετο, συνήχθησαν οὖν ἄνδρες κλητοὶ, καὶ αὐτόκλητοι ὑπὲρ ἀριθμὸν δυνατὸν εἰπεῖν. ἔλεγον οὖν, ὅσοι κατεσκόπουν, εἶναι ὑπὲρ τετρακοσίας χιλιάδας. καὶ
D οἱ τοῦ Γαλατᾶ Γενουΐται, καὶ πρὸ τοῦ ἐλθεῖν τὸν τύραννον ἔτι ὄντα ἐν Ἀδριανουπόλει, ἔστειλαν πρέσβεις, ἀγγέλλοντες τὴν εἰς αὐτὸν ἀκραιφνῆ φιλίαν, καὶ ἀνανεοῦντες τὰ προγεγραμμένα ἐνυπόγραφα· καὶ αὐτὸς ἀπελογεῖτο, ὡς φίλος αὐτῶν εἶναι, καὶ ἀδιάσπαστος τῆς πρὸς αὐτοὺς ἀγάπης, μόνον μὴ εὑρεθῶσι βοηθοῦντες τῇ πόλει, καὶ αὐτοὶ ὑπέσχοντο. πλὴν εἷς ἐκ τῶν δύο κατηγελᾶτο, ὡς τὸ τέλος ἔδειξεν· εἰ γὰρ οἱ τοῦ Γαλατᾶ ἐνενόουν, ὡς καθὰ καὶ ἐν ἑτέροις χρόνοις ἡ πόλις καταπολεμηθεῖσα παρὰ τῶν γονέων αὐτοῦ, οὐδὲν ἠνύσαντο ἀπελθόντες ἄπρακτοι. οἱ δὲ τοῦ Γαλατᾶ σὺν ἑαυτοῖς φιλίαν ὑποσαινοῦντες, τοὺς μὲν πολίτας ἐδίδοσαν τὴν παρ'
E αὐτοῖς ἐξερχομένην βοήθειαν, ὑπὸ θαρροῦντες γενέσθαι καὶ ἐν τῷ καιρῷ τούτῳ· ὡς πλάττειν μὲν τὴν φιλίαν ὑπέπτευον, τῇ δὲ πόλει τὰ εἰκότα συνεμάχουν κρυφίως. ὁ δὲ τύραννος πάλιν ἐν ἑαυτῷ ἔλεγεν· ἔασον κοιμᾶσθαι τὸν ὄφιν, ἕως οὗ καταθλάσω τὸν δράκοντα, καὶ τότε μία πληγὴ ἐλαφρὰ κατὰ κεφαλῆς καὶ τοῦτον σκοτοδινιάσει. ὃ καὶ γέγονε. τότε συνήχθησαν καὶ διὰ θαλάσσης τὰ

πλοῖα

πλοῖα αὐτοῦ σὺν τριήρεσι, διήρεσι, πλοιαρίοις ἕως τριακόσια τὸν ἀριθμόν. ὁ δὲ λιμὴν τῆς πόλεως ἦν κεκλεισμένος σὺν τῇ ἁλύσει, ἀπὸ τοῦ μέρους τῆς πύλης τῆς πόλεως τῆς καλουμένης ὡραίας, εἰς τὸ τοῦ Γαλατᾶ μέρος, καὶ αἱ νῆες ἵσταντο ἔνδον ὁρμαθηδὸν προσέχοντες τὸν λιμένα καὶ τὴν ἅλυσιν. αἱ δὲ νῆες, ἃς εἴπαμεν πέντε, μία ἡ τοῦ Βασιλέως φέρουσα φόρτον τὸν ἐκ Πελοποννήσου σῖτον, αἱ δὲ ἄλλαι τέσσαρες ἐκ Γενούας ῥογευθεῖσαι παρὰ τοῦ βασιλέως, ἵσταντο μὲν ἐν Χίῳ μέχρι Μαρτίου μηνὸς ὅλου διά τινας αὐτῶν χρείας. εἰσελθόντος οὖν Ἀπριλλίου, καὶ βουλομένων ἆραι τὰς ἀγκύρας, ὁ βορρέας αὐτοὺς ἐνεπόδιζε. ἦσαν οὖν οἱ πολῖται ἐν ἀθυμίᾳ πολλῇ ὡσαύτως καὶ αἱ νῆες. τοῦ βορρέως οὖν καταπραέως πεσόντος, καὶ νότου ἄρξαντος πνεῖν, B ἐξῆλθον τοῦ Χίου λιμένος· καὶ κατ' ὀλίγον πνέοντος τῇ πρώτῃ ἡμέρᾳ, τῇ δευτέρᾳ ἐκραταιοῦτο, καὶ βιαίως ἐφέροντο ὑπ' αὐτοῦ αἱ νῆες. ἵσταντο οὖν οἱ τῆς πόλεως ἐκδεχόμενοι τὴν καλὴν ταύτην ἀπανδοχήν, εἰ καὶ μηδὲν ὤνησαν. φανέντων οὖν τῶν νηῶν, εὐθὺς ὁ τύραννος ὡς ἄγριος δράκων ὥρμησε κατὰ τῶν αὐτοῦ τριήρεων, καὶ τῶν λοιπῶν πλοίων, λέγων καὶ προστάσσων αὐτοῖς· ὅτι ἐκ τῶν δύο πρόκειται γενέσθαι τὸ ἕν, ἢ τὰς νῆας λαβεῖν, ἢ κωλῦσαι τοῦ μὴ εἰσελθεῖν ἐν τῷ λιμένι. τότε ἐξελθόντες τὰ πλοῖα ἵσταντο ἐκδεχόμενα τὴν ἄφιξιν τῶν νηῶν, ἐκ τοῦ λιμένος τῆς χρυσῆς πύλης ἐκτός· αἱ δὲ νῆες ἐλθοῦσαι κατὰ τὴν ἴσον ὁδόν, C καὶ βουλόμεναι περάσαι τὸν Μεγαδημήτριον τὴν ἀκρόπολιν, τοῦ εἰσελθεῖν ἐν τῷ κερατίῳ κόλπῳ, τὰ πλοῖα ἀνθίσταντο ταῖς ναυσίν. ἦν γὰρ καὶ ἡ θάλασσα ἐκείνῃ τῇ ὥρᾳ εὔδιος ἀνέμου μὴ πνέοντος. καὶ ἦν ἰδεῖν ξένην θέαν. κατεστρωθεῖσα γὰρ ἡ θάλασσα τοῖς ἱστίοις τριακοσίοις τῶν Τούρκων, καὶ πέντε μεγίστοις τῶν νηῶν, ἐξήπλωτο ἡ θάλασσα ὡς χέρσος, καὶ ὑπὸ τῶν βελῶν οὐδὲ τὰς κώπας ἠδύναντο καταφέρειν ἐν τοῖς ὕδασιν. οἱ δὲ τῆς νηὸς ὡς ἀετοὶ ὑπόπτεροι, ἄνωθεν, ὡς κεραυνούς, τὰ βέλη τῶν τζαγγρῶν κατέπεμπον, καὶ τὰς σκευὰς ἀπέλυον, καὶ φόνος οὐκ ὀλίγος τῶν Τούρκων ἐγένετο. ὁ δὲ τύραννος ὑπὸ τῆς ἄγαν ἀλαζονείας ὁρμήσας ἐν τῇ θαλάσσῃ ἐποχούμενος ἵππῳ, ἐφαντάζετο σχίζειν τὴν θάλασσαν, καὶ ἕως αὐτῶν τῶν νηῶν διὰ τοῦ ἵππου πλεῦσαι, D τόσον ἐθυμοῦτο ἐν τοῖς αὐτοῦ, καὶ ἔνοπλος στρατιὰ σὺν αὐτῷ· τότε ἀνέμου πνεύσαντος, καὶ τὰ ἱστία φυσηθέντα, σχίσαντες τὰ πλοῖα τὴν ἐν τῷ λιμένι ὁδὸν ἔπλεον, τὰ δὲ πλοῖα ἔμειναν. εἰ γὰρ ἦν ἔμπροσθεν αὐτῶν τότε ὁ στόλος τοῦ βαρβάρου, ἐδύναντο ἂν αἱ πέντε αὗται νῆες καταποντίσαι καὶ τὰ τριακόσια. ὁ δὲ τύραννος μὴ γινώσκων τὴν τῆς θαλάττης ἐπιστήμην μάτην ἐκέκραγεν. ὁ δὲ μέγας Κοντόσταυλος αὐτοῦ οὐκ ἐθέλησεν ἀκοῦσαι, καὶ γὰρ παραλόγως ἐπρόσταττε. τότε θυμωθεὶς ὁ τύραννος ὥρισε τὸν στόλον ἀπελθεῖν ἐν τῷ Διπλωκίονι, τὸν δὲ μέγαν Κοντόσταυλον ἀχθῆναι ἐνώπιον αὐτοῦ. ἀχθέντος οὖν, καὶ κατὰ γῆς ῥιφέντος, καὶ ὑπὸ τεσσάρων τανυσθέντος, αὐτὸς ὁ ἡγεμὼν οἰκείαις E χερσὶν ἔτυψε, δοὺς ἑκατὸν σὺν μιᾷ χρυσῇ ῥάβδῳ, ἧς ἡ κεφαλὴ χρυσίου καθαροῦ στάθμιον λίτραι πεντακόσιαι· ἣν αὐτὸς κατεσκευάσατο ἵνα παίζῃ αὐτήν, ὡς δοκίμιον· ἦν ὁ ἄνθρωπος τὸ γένος ἐκ τῶν Βουλγάρων ἕλκων, τινὸς τῶν ἀρχόντων Βουλγαρίας υἱὸς Πάλδα ἐπονομαζόμενος. ἐδουλώθη οὖν πρὸ και-

A *deinde, eoque levi, illa capiti impulso vertigine circumactum calcabo*; quod etiam postea contigit. Eodem etiam tempore Mehemetis navigia, acatia, biremes, & triremes trecentæ simul prope urbem appulerunt. At portum urbis catena extensa a porta, quæ Pulchra appellatur, ad Galatæ luctus claudebat, navesque continua serie connexæ, portus latitudinem, & catenæ longitudinem occupantes, intra eam stationem habebant. Classis porro quinque navium nobis memorata, quarum una e Peloponeso cibaria subvehens Imperatoris erat, cæteræ quatuor mercede conductæ Genuensium erant, in Chii portu, dum sibi necessaria compararent, totum mensem Martium transegere. Ineunte Aprili e portu solvere cum B decrevissent, Boreas spirans obstitit. quamobrem Constantinopolitani, pariterque navium illarum vectores mœsti admodum, animoque valde consternati erant. At Borea cadente cum Auster flare cœpisset, portu solverunt. Prima die vento leni ac mediocri lati; altera vehementius flante Austro celerius etiam ferebantur, Constantinopolitanis hanc egregiam, nihilque ipsis profuturam, rerum copiam interim expectantibus. Ubi vero in urbis conspectum venere naves, ad triremes suas cæteraque navigia celeri impetu accurrit Tyrannus, taliaque imperat; alterum e duobus faciendum incumbit, vel naves capiendæ, vel portus ingresso arcendæ sunt. A littore itaque progressa e- C jus navigia, in medio freto, navium appulsum extra portum Aureæ portæ expectando, stabant. Navibus autem rectam viam tendentibus, annitentibusque Megademetrium arcem, ut sinum Ceratinum ingredi possent, superare, navigia obstabant; mare quippe, vento tunc posito, tranquillum erat. Spectaculum etiam visendum exhibebatur strati maris Turcorum velis trecentis, & quinque magnis navibus, videbaturque æquor ad campi planitiei instar complanatum; nec propter telorum frequentiam, remi in aquam demergi poterant. Navium vectores, ut aquilæ alatæ, e superiori loco in navigia humiliora balistis tela, velut fulmina, emittebant, quorum machinas disrupe- D rant Turcorum ingenti strage edita. Tyrannus ingenita superbia & vanitate impulsus, undas findere posse, & equo vectum ad naves usque, suisque armatos penetrare confidebat; tantus animi, quo in rebus suis agendis ferebatur, impetus erat. Vento interea excitato velaque sinuante, naves per acatia media, quæ stationem suam non deseruerunt, in portum deferuntur. Quod si tunc universa classis barbari obvia stetisset, illam quassando ac demergendo quinque naves istæ pares erant. Tyrannus rei nauticæ ignarus ad clamores & vociferationes conversus est; quibus magnus ejus Contostaulus, cum absurda juberet, auscultare noluit. Ira tunc accensus Tyrannus classem E ad duas columnas abire, & coram se magnum Contostaulum adduci jubet. Quem attractum & in terram dejectum, quatuor satellitibus illius membra distendentibus, princeps ipse suis manibus aurea virga librarum quingentarum pondo, (quam ad tyrocinium in verberando faciendum comparaverat) centum plagis inflictis verberavit. Ille vero Contostaulus natione Bulgarus, nomine Palda, quondam inter suos principe viro ortus e-

> Mehemetis classis ad urbem accedit, cujus portum incolæ catena clausum tenebant.

> Naves quinque ex Archipelago Constantinopolim veniunt.

> Turci a portus ingressu frustra arcent.

> Edit. Paris. pag. 152.

> Naves quinque portum ingressæ.

> Mehemetes ira accensus Contostaulum classis suæ indigne & contumeliose habet.

> Palda Contostaulus.

rat. Jamdiu aute mancipium factus a patria religione & pietate defecerat; Mehemetisque patri servitutem servierat. Is aute quatuor annos in Lesbum piraticam exercens excurrerat, multosque captivos abduxerat: remigibus porro ac nautis invisus; ut qui prædam ipsis subtraheret ac surriperet. Ut ergo eum a Tyranno spretum, virgis cæsum ac contumeliose habitum vident, Azapidum unus, genæ ipsius lapide incusso, alterum occulum eruit. At naves portum ingressæ, a Constantinopolitanis soluta catena, intra ipsam accipiuntur. Tyrannus naves octo magnas, minores plures viginti, triremesque Imperatoris ac Venetas, aliaque plurima parva navigia portum occupare conspiciens, illo se non posse potiri cognovit: stratagema ideo audax, generosu fortique viro dignum comminiscitur. Per dumeta & vepres post Galatam sitas rectam viam a parte, quæ orientem infra duas columnas respicit, usque ad alteram partem littori Ceratini sinus e regione Cosmedii conterminam, sterni imperat. & pro loci qualitate quantum possibile fuit, cumplanata via, phalangiis impositas biremes, velis expansis ex trajecto ostii sacri terra circumactas & tractas in Ceratinum sinum inferri jubet; statimque illud factum est. Biremes itaque trahebantur, in quarum singulis unus proræ gubernator adsidebat, alius ad puppim clavum regebat. Tertius antennas moderabatur, velaque agitabat, alius tympanum pulsabat; carmen etiam nauticum a tubicine cantatum. Dumeta interim ac torrentes navigantium species superant, triremesque octoginta terra tractas ab uno litore, ubi cæteræ relictæ sunt, ad aliud litus deducunt. Quis talium spectator umquam, vel auditor fuit? Mari equidem navibus constrato pontem imposuit Xerxes, super quo ingentem exercitum trajecit. At hic novus Alexander Macedo, stirpisque suæ, uti spero, Tyrannus ultimus, navigiis per collium juga, velut per maris undas, actis, in terram mare induxit. Xerxem insuper opere, ac successu superavit, qui Hellespontum transvectus, accepta ab Atheniensibus clade turpiter recessit. Mehemetes vero terra, quasi navigabili reddita remotumque patiente, trajecit, Romæos delevit; aureasque revera Athenas, urbem imperatoriam, mundi ornamentum expugnavit. Atque ista quidem mari gerebantur. Terra vero tormentum bellicum illud immane in mœnium conspectum tractum, non longe a sancti Romani porta, locatum est; ad scopum destinatum artifex collimaturus sic se parabat. Bombardæ binæ locatæ erant ex obliquo, lapidum in globos affabre deformatorum librarum * pondo capaces; majorem ille explosurus, locum imprimis designatum minori primum quatiebat: certo deinde ictu majorem emittebat. Ad fragorem & sonitum accensæ bombardæ, explosique primi globi, Constantinopolitani attoniti, mutique restitere: rupto deinde silentio in has voces DOMINE MISERERE eruperunt. Per id tempus purissimæ ac castissimæ Deiparæ imago Diacænesimi septimana, ex recepta consuetudine, in palatio palam proposita erat; ubi usque ad diem captæ urbis stetit; atque interim in vici illius monasterio omnes precibus crebro litabant. Quæ Deus per Prophetam Jeremiam dixerat, tunc impleta sunt: *Ut quid ex ter-*

Stratagema Mehemetis audacissimum. Diplokionium.

Biremes e Bosporo in sinum Ceratinum terra transportatæ.

Edit. Paris. pag. 133.

Turci Constantinopolim terra oppugnant.

* Leonicus dicit fuisse semissis talenti, id est, 50. libras, pondo. Urbis incolæ fragore tormenti ænei displosi attoniti restant.

Imago SS. Dei genitricis in palatio.

A ρου, καὶ ἐξωμόσατο τὸ πάτριον σέβας, καὶ ἦν δοῦλος πατρικὸς τοῦ Μεχεμέτ. αὐτὸς ἦν ὁ πρὸ τεσσάρων ἐτῶν ἐλθὼν ἐν τῇ Λέσβῳ, καὶ αἰχμαλωτίσας αἰχμαλωσίαν ἄπειρον. ἦν δὲ καὶ τοῖς ἀπελάταις οὐ καλὸς φίλος, ἁρπάζων αὐτῶν τὰ λάφυρα, καὶ ἰδόντες αὐτὸν ὑπὸ τοῦ τυράννου καταφρονηθέντα, καὶ ῥαβδισθέντα, εἷς τῶν Αζαπίδων λίθον ἄρας, καὶ κατὰ κόρρης ἀρύσας ἐξώρυξε τὸν ἕνα ὀφθαλμὸν αὐτοῦ. αἱ δὲ νῆες ἐλθοῦσαι ἐν τῷ λιμένι, καὶ οἱ τῆς πόλεως χαλάσαντες τὴν ἅλυσιν ἔδωκαν εἴσοδον αὐταῖς· τότε ὁ τύραννος ἰδὼν τὰς ναῦς τὰς μεγάλας ὀκτὼ οὔσας, τὰς μικρὰς ἐπέκεινα τῶν κ', καὶ τριήρεις βασιλικάς, καὶ τριήρεις τῶν Βενετίκων, καὶ ἄλλα πλεῖστα μικρά, ἔγνω ὡς οὐκ ἔστι δυνατὸν τοῦ κατασχεῖν τὸν λιμένα, καὶ
B τεχνάζεται γενναῖόν τι καὶ ἀνδρεῖον σόφισμα. προστάττει τοῦ ἀθυδρομηθῆναι τὰς νάπας τὰς ὄπισθεν κειμένας τοῦ Γαλατᾶ, ἀπὸ τὸ μέρος τὸ πρὸς ἀνατολὴν ἄποθεν τοῦ διπλοῦ κίονος, ἕως τὸ ἄλλο μέρος τοῦ Γαλατᾶ τὸ πρὸς τὸν αἰγιαλὸν τοῦ Κερατίου κόλπου ἀκουμβισμένον ἄντικρυ Κοσμιδίου, καὶ ποιήσαντες τὴν ὁδὸν ὁμαλήν, ὅσον ἐδυνήθησαν, καὶ τῶν φαλάγγων ἐπιβιβάσας τὰς διήρεις, καὶ τὰ ἱστία πτερώσας ἐκέλευσεν ἕλκειν διὰ ξηρᾶς ἐκ τοῦ πορθμοῦ τοῦ ἱεροῦ στομίου, καὶ εἰσάγειν εἰς τὸν Κεράτιον κόλπον τὰ πλοῖα, ὃ καὶ γέγονεν. εἵλκοντο δὲ τὰ σκάφη, καὶ ἐν ἑκάστῳ πρωρεύς, καὶ ἄλλος ἐπὶ τῶν οἰάκων καθήμενος. ἕτερος δὲ τὸ πτερὸν ἀρτῶν τὸ ἱστίον ἐτίνασσεν, ἄλλος τύμπανον, ἕτερος σάλπιγγα κρούων ἐμελῴ-
C δει θαλάσσιον μέλος. καὶ ἐξ οὐρίας πλέοντες, τὰς νάπας καὶ τὰς ῥύακας, τὴν ξηρὰν διήρχοντο, ἕως οὗ καταστήσαντες ἐν τῇ ὑγρᾷ, τούτους ἀνήγαγον ὀγδοήκοντα τὸν ἀριθμόν, αἱ διήρεις ὑπάρχουσαι, τὰς δὲ λοιπὰς εἴασεν ἐκεῖ. Τίς εἶδε τοιοῦτον; ἢ τίς ἤκουσεν; ὁ Ξέρξης τὴν θάλασσαν ἐγεφύρωσε, καὶ ὡς ξηρὰν ὁ τοσοῦτος στρατὸς ἐπάνω ταύτης διῆλθεν. οὗτος δὲ ὁ νέος Μακεδών, καὶ, ὡς ἐμοὶ δοκεῖ, τῶν γονέων αὐτοῦ τύραννος ἔσχατος, τὴν γῆν ἐθαλάσσωσε· καὶ ὡς κατὰ κυμάτων, τὰ πλοῖα κατὰ τῶν κορυφῶν τῶν ὀρέων ἀπέζευξεν. ἀλλ' ὑπὲρ τὸν Ξέρξην οὗτος· καὶ γὰρ ἐκεῖνος διαβὰς τὸν Ἑλλήσποντον, παρὰ τῶν Ἀθηναίων αἰσχύνην ἐνδυθεὶς ὑπέστρεψεν. οὗτος δὲ τὴν ξηρὰν ὡς ὑγρὰν δια-
D βάς, τοὺς Ῥωμαίους ἠφάνισε, καὶ τὰς χρυσᾶς ὄντως Ἀθήνας, τὰς κοσμούσας τὸν κόσμον, τὴν βασιλίδα τῶν πόλεων εἷλε. Ταῦτα μὲν διὰ θαλάσσης. διὰ δὲ ξηρᾶς, τὴν χωνείαν ἐκείνην τὴν παμμεγέθη φέροντες ἄντικρυ τοῦ τείχους, ἔστησαν ἐν τῇ πύλῃ τοῦ ἁγίου Ῥωμανοῦ πλησίον. καὶ λαβὼν σημεῖον ὁ τεχνίτης, εἶχε δὲ ἐκ πλαγίου φολέας δύο κατεσκευασμένας, χωρούσας πέτρας ὡς λιτρῶν * εὐτοφυῶς τεχνασμένας. καὶ ὅτε ἠβούλετο ἀπολύειν τὴν μεγάλην, ἐσημειοῦτο τὸν τόπον, πρῶτον πέμπων τὴν μικράν· καὶ τότε στοχαστικῶς ἐσφενδόνει τὴν μεγίστην· καὶ κρούσας τὴν πρώτην βολήν, καὶ ἀκούσαντες τοῦ κτύπου οἱ τῆς πόλεως, ἐνεοὶ γεγόνασι, καὶ τό, Κύριε ἐλέησον, ἔ-
E κραζον. ἦν δὲ τότε, κατὰ τὸ ἔθος, εὑρεθεῖσα ἡ εἰκὼν τῆς παναχράντου Θεοτόκου τῇ ἑβδομάδι τῆς διακαινησίμου ἐν τῷ παλατίῳ· καὶ ἐκεῖ συχνάκις ἐλιτάνευον ἐν τῇ μονῇ τῆς Χώρας, καὶ ἡ εἰκὼν ἐκεῖ ἵστατο μέχρις ἁλώσεως· τότε ἐπληροῦτο τὸ ῥῆμα παρὰ τοῦ Θεοῦ διὰ τοῦ Ἱερεμίου λέγοντος· Ἵνα τί μοι λίβανον ἐκ Σαβὰ φέρεις, καὶ κιννάμωμον ἐκ γῆς μακρόθεν; τὰ ὁλοκαυτώματα ὑμῶν οὐκ ἔστι

δεκταί. καὶ αἱ θυσίαι ὑμῶν οὐχ ἥδυνάν με· διὰ τοῦ- (A) το τάδε λέγει Κύριος. Ἰδοὺ ἐγὼ δίδωμι ἐπὶ τὸν λαὸν τοῦτον ἀσθένειαν. καὶ ἀσθενήσουσιν ἐν αὐτῇ πατέρες, καὶ υἱοὶ ἅμα· γείτων, καὶ ὁ πλησίον αὐτοῦ ἀπολοῦνται. Τάδε λέγει Κύριος. Ἰδοὺ λαὸς ἔρχεται, ἀπὸ Βορρᾶ, καὶ ἔθνος μέγα. καὶ βασιλεῖς πολλοὶ ἐξεγερθήσονται ἀπ' ἐσχάτου τῆς γῆς, τόξον, καὶ ζιβύνην κρατήσουσιν. Ἰταμός ἐστι καὶ οὐκ ἐλεήσει. φωνὴ αὐτοῦ ὡς θάλασσα κυμαίνουσα, ἐφ' ἵπποις, καὶ ἅρμασι παρατάξονται, ὥσπερ πῦρ εἰς πόλεμον ἐπὶ σὲ, θύγατερ Σιών. Ὁ δὲ σοφιστὴς τῆς κακίας ἐκείνης ὁ τεχνίτης, τί μέθοδον ἐπίστατο τοῦ μὴ διαρραγῆναι τὴν χωνείαν; καὶ γὰρ οἴδαμεν χωνείας ἀπολυούσας προβόλους· μετὰ γοῦν τὸ ἀπολυθῆναι τὴν σκευὴν, εἰ καὶ μὴ ἐφυλάττετο σκεπαζο- (B) μένη ὑπὸ πίλων ἐξ ἐρίων παχέων, παραυτίκα ὡς ὕαλος διερρήγνυτο· καὶ μετὰ τοσαύτην ἐπισκοπὴν, ἢ δὶς, ἢ τὸ πλεῖον τρὶς ἀποπέμπων ἐσχίζετο, τοῦ ἀέρος χωροῦντος ἐν τοῖς κοίλοις τῶν μετάλλων ἀποβαθύμασιν· οὗτος δὲ τί ἐποίει; μετὰ τὸ σφενδονισθῆναι τὴν πέτραν τῆς χωνείας ζεούσης ἀπὸ τῆς θερμότητος τοῦ νίτρου καὶ τοῦ θείου, παραυτίκα κατέβρεχεν αὐτὴν ἐλαίῳ, καὶ οὕτω ἐπληροῦντο τὰ ἔνδον αὐτῆς ἀερώδη πάθη, καὶ οὐκ ἐνήργει τὸ ψυχρὸν λεανθὲν ὑπὸ τῆς τοῦ ἐλαίου θερμότητος, καὶ ἐβάσταζε τὸν κόπον ἀκόλως, ἄχρις οὗ ὑπούργησε τὸν ὄλεθρον τῆς πόλεως· καὶ ἔτι μετὰ ταῦτα φυλάττεται σῶα, καὶ ἀνεργεῖ πρὸς τὸ τοῦ τυράννου θέλημα. κρούσας οὖν καὶ διασείσας τὸ τεῖχος, ἠβουλήθη ἐκ δευτέρου ἐν αὐτῷ τῷ τό- (C) πῳ βάλλειν ἄλλον ἕνα λίθον· τυχὼν δὲ ἀποκρισιάριος τοῦ Ἰάγκου ἐκεῖ ἔσκωψε τὴν βολὴν, λέγων· εἰ βούλει καταπεσεῖν εὐκόλως τὰ τείχη, μετάθες τὴν σκευὴν ἐν ἄλλῳ μέρει τοῦ τείχους, ἀπέχοντι ἀπὸ τῆς πρώτης βολῆς ὀργυίας ε΄ ἢ ἕξ, καὶ τότε ἐξίσου τὴν πρώτην ἄφες ἑτέραν βολήν. τῶν δύο οὖν ἄκρων κρουσθέντων ἐπιμελῶς, τότε βάλλε καὶ τρίτην, ὡς ἀποτελέσαι τὰς τρεῖς βολὰς ἐς τριγώνου σχῆμα, καὶ τότε ὄψει τὸ τοιοῦτον τεῖχος εἰς γῆν καταπίπτοντα. ἤρεσεν οὖν ἡ βουλὴ, καὶ οὕτω πέπραχεν ὁ τεχνίτης, καὶ οὕτως ἀπέβη. πόθεν δὲ παρακινηθεὶς ὁ Οὖγγρος οὕτω τὴν βουλὴν ταύτην τῷ τυράννῳ δέδωκε, ἤδη λέξω. Ὁ ῥὴξ τῆς Οὐγγρίας τὴν βασιλείαν τῶν Ῥωμαίων ἐν ἐκείνῳ τῷ (D) ἔτει παραλαβὼν, καὶ στεφθεὶς παρὰ τοῦ Πάπα Νικολάου· καὶ ἀναζωσάμενος τὴν ἀρχὴν αὐτοῦ, ἐξεβλήθη τῆς ἐπιτροπικῆς ἐξουσίας ὁ Ἰάγκος, καὶ ἀντελάβετο τὴν πᾶσαν φροντίδα τῆς ἀρχῆς ὁ ῥὴξ καὶ βασιλεύς· ἔχων δὲ ὅρκους μετὰ τοῦ Μεχεμὲτ ἀγάπης προσδιοριστικῆς τριῶν ἐτῶν, ἤδη πληρωθέντος τοῦ ἔτους καὶ ἡμίσεως, ἐμήνυσε τῷ Μεχεμὲτ λέγων, ὡς ἐγὼ τὴν βασιλείαν παρέδωκα τῷ Κυρίῳ μου, καὶ ἀπὸ τοῦ νῦν οὐκ εἰμὶ τὰ διορθοῦν ἃ ὑπεσχέθην· λάβε τὰ ἔγγραφα ἃ ἔδωκας, καὶ δὸς τὰ ἡμέτερα καὶ ἔσο ὡς βούλει μετὰ τοῦ ῥηγὸς τῆς Οὐγγρίας· αὕτη ἐστὶν ἡ αἰτία τῆς ἀφίξεως· περὶ δὲ τῆς βουλῆς, ἧς οὐκ ἔδει συμβουλεῦσαι ὡς ὑπάρχων Χριστιανὸς, ὅπως ἀκούσας γράφω. Λέγεται ὅτι μετὰ τὴν τρίτην ἧτταν, ἣν φθάσας ὁ λόγος ἐδή- (E) λωσε, φυγὼν ὁ Ἰάγκος, καὶ οὐχ ὡς ἤθελεν, ἢ ὡς ἔπρεπε καταλαβὼν τὰ οἰκεῖα, ἔτυχέ τινος τῶν πνευματοφόρων ἀνδρῶν διηγούμενος τὰ τῆς ἥττης, καὶ ἀδημονῶν πῶς ἡ τύχη τὰ τῶν Ῥωμαίων κατέλιπε, καὶ πρὸς τοὺς ἀσεβεῖς χαροπὸν ἔβλεψε. ὁ δὲ γέρων ἀπεκρίνατο. ἴσθι τέκνον, εἰ μὴ πανωλὴς φθορὰ τοῖς Ῥωμαίοις ἐπέλθοι, οὐκ ἐπιγελάσει τοῖς Χριστιανοῖς ἡ τύχη· δεῖ γὰρ τὴν πόλιν ὑπὸ τῶν

A *ra longinqua ibat Sabæum, & cinnamomum mihi affers? Holocautomata vestra mihi accepta non sunt, & sacrificia vestra non me delectant. hacce propterea minatur Dominus. infirmum ac invalidum hunc populum reddam: in ipsa urbe parentes ac filii languore simul deficient, vicini simul peribunt. Hæc præterea dicit Dominus, Ecce populus gens magna a Borea venit. Reges multi, ab ultimis terminis terræ excitati, arcum, gladiumque arripient. impudens est, & non miserebitur: vox illius mari æstuanti similis; equis & curribus, filia Sion, in acie sicut ignis adversum te stabunt.* Perniciosæ porro illius machinæ inventor, ac faber noto sibi quodam medicamine prospexerat, quominus tormentum æneum rumperetur. Tormentis illis lapides emit- B ti vidimus ac novimus: post explosionem vero, nisi pilis ex lana deosissime compactis contecta statim forent, ad *vitri* modum dirumpi; etiamque tali cura adhibita, duabus vel tribus explosionibus, in metalli poros subeunte aere, id pati. At qua arte id vitabat? Emisso lapide æneum tormentum nitri ac sulphuris vapore calefactum oleo statim perfusum, quo obstructi pori aeris penetrantis injuriam arcebant; & olei calore vis frigoris retundebatur: sicque explosionibus sustinendis illa machina par fuit, donec urbi ruinam attulisset. Integra etiamnum ad Tyranni usus, cum ipsi libuerit, superest. Impulsa ac quassata muri parte, in eamdem collimabat lapidem denuo emissurus: sed cum Janchi C Apocrisiarius, qui ibi tum aderat, destinatum ictum risu excepisset, eique collimanti dixisset: *Si muros in terram nullo negotio ruere velis, a parte muri prius diruta ad proxime quinque vel sex orgyis distantem conversa machina, illus unum & alterum æqualis altitudinis destina; quibus accurate directis ac libratis, tertio murum quate; ita ut in trianguli figuram dispositi cernantur; illam mœnium partem in terram ruere conspicies.* Placuit consilium, cui paruit artifex, nec successu caruit. Qua ratione vero impulsus Hungarus ille Tyrannum hac de re monuerit, enarrabo. Anno illo Hungariæ Rex Romanorum Imperator designatus fuerat, & a Papa Nicolao coronam acceperat. Exautorato et- D iam Janco, qui curatoris nomine res administraverat, Rex ipse Imperator administrationem regni universam capessivit ac suscepit. Cumque pacem in triennium cum Mehemete pactus esset Jancus, sesquianno ipsius jam exacto, talia Mehemeti significavit. *Regni administratione ipse me abdicavi, & Domino meo eam tradidi: quæ pollicitus sum, in posterum integra præstare amplius nequeo; quas scriptas ergo tabulas nobis credidisti tibi habe, nostrasque mihi redde, cum Hungariæ porro Rege, ut tibi visum erit te gesseris.* Hoc de negotio actutum Apocrisiarius legationem obierat. De consilio vero, quo hunc, cum Christianus esset, nusquam dare decuit, ab aliis quæ accepi, referam. Fama est Jan- E cum, postquam tertio victus turpi fuga domum invitus repetiisset, cuidam *vim* spiritu prophetico impulso, in quem casu incidit, cladem, quam acceperat, narravisse: & Romæorum rebus, quos fortuna, ad impios conversa iisque arridens, deseruisset, illachrymasse; huicque senem talia respondisse, *Illud a me disce fili, non prius Christianos, quam internecione Romæi deleti penitus fuerint, prospera fortuna usuros esse. Urbem a Turcis vastari ac*

Jeremiæ Prophetæ verba.

Edit Paris. pag. 154.

Tormentis æneis ne diplosione frangantur medicamentum adhibitum.

Hunniades ad Mehemetem legatus bombardarium docet, quomodo globos dirigere oporteat.

Quâ ratione impulsus legatus bombardarium docuerit.

Senis cujusdam ad Johannem Hunniadem verba.

Edit. Parif. pag. 155.

diripi necesse est, hacque clade Christianorum infortunia terminari. Janer fecialis infaustam ejusmodi prophetiam auribus

Murus urbis ad S. Romani portam diruitur.

haustam, in animum induxerat: quare citius urbem expugnari cupiens, rationem, qua citius ruerent quassatas murus, docuit. Dirutis ergo, qui turris lateribus adhærebant, mœnibus: turre etiam sancti Romani portæ vicina solo æquata, hostes & qui intra urbem erant, se invicem conspiciebant. Illic Joannes Justinianus, suis palatiique militibus cinctus, fortiter pugnabat; Auxiliarii etiam non pauci ar-

Justinianus & Galatini strenue pugnant.

mati Galatini, qui amicos multis modis se probaverant, strenue prælabantur. Isti equidem extra oppidi sui muros in Turcorum castris secure versabantur, Tyranno necessaria copiose præbentes, oleum in machinæ tormentariæ usum, & quidvis aliud quod Turci peterent, ministrantes.

Galatini Turcos decipiunt.

Romæis vero occulte auxiliari, & noctu Constantinopolim trajicientes per diem illis militare; sequenti deinde nocte permutatis vicibus succedere alii: ita ut, qui pridie in urbe manserant, in oppido & castris ad Turcos fallendum celandumque postridie agerent.

Veneti etiam operam egregie navant.

Veneti quoque a porta Imperatoria Cynegum usque, Ro-

Magnus Dux.

mæis immixti adversus Turcos prælibantur. Dux interim magnus militibus ubique animum faciendo, vigilias explorando, & militum, qui desiderabantur, numerum ineundo, quingentis armatis stipatus urbem quotidie obibat; Neque enim oppugnationem urbis manifestam malignus ille agrediebatur, dum tempus ab hariolis suis indicatum expectat.

Constantinus animo percellitur.

Imperator mœnium ruinam considerans urbi sibique infausta augurabatur; a temporibus quippe Constantini sanctissimi per tot tantaque bella Scythica, Persica & Arabica, vel unius libræ pondo lapidem e muris dejici nusquam contigerat. Tanta itaque murorum ruina ejus oculis obversante, immenso exercitu ac classe premi se, iterque planum in urbem hosti apertum animadvertens, abjecta spe o-

Mehemetem tributo oblato, ab obsidione removere tentat.

mni animo ita frangitur, ut legatos ad Tyrannum miserit, qui ipsum orarent, ut annuo tributo quantum liberet, urbis etiam opibus & divitiis majore imperato, aliis etiam injunctis, obsidionem solveret, & castris ab urbe motis pacem amplecteretur. Legatis hunc in modum respondit Tyrannus:

Mehemetes urbem sibi dedi petit.

Ab obsidione recedere nullatenus possum: vel urbem capiam, aut ipsa vivum me mortuumve capiet. Si vero urbe mihi sponte decedere, nec mactas volueris, Peloponnesum tibi concedo; fratribus tuis alias ditiones donabo, & proinde amicitia mutua inter nos sociati ac conjuncti erimus. Quod si intra urbem me pacifice non acceperis, eamque vi expugnatam ingressus fuero, te magnatesque tuos omnes sublatos gladio confodiam; cæteramque multitudinem militi meo, cum urbs vacua mihi satis sit, diripiendam relinquam.

pag. 156.

Constantinus eam se proditurum negat.

His assatis auscultare, vel parere Imperator numquam animum induxit; neque enim possibile erat urbem Romæis ereptam Turcis tradere. Hocce enim flagitio admisso, quam viam ipsi capesserent, quem in locum abirent, in quam Christianorum urbem migrarent Romæi? ubi a probris, contumeliis & contemptu turi & securi agerent: a Christianis enim non solum, sed ab ipsis Turcis & Hebræis merito spreti, ac contumeliose habiti essent.

Justinianus infelici successu triremes hostium comburere aggreditur.

Per id tempus Justinianus Longus hostium hiremes noctu invadere, ignemque iis injicere cogitabat.

A Τάρκων φθαρῆναι, καὶ οὕτω τὰ τῶν Χριστιανῶν δυστυχήματα τέλος ἕξουσι. Ἔχων οὖν ἐν ὠσὶ τὴν ἀπαίσιον ταύτην προφητείαν ὁ τοῦ Ἰάγκου ἄγγελος, ἐπεθύμει συντομώτερον τὴν πόλιν ἁλῶναι, καὶ διὰ τοῦτο τὸν βωλεὸν, πῶς δεῖ, καὶ μάλιστα τὸ τεῖχος εὐκόλως πεσεῖν, ἐδίδασκε. πεσόντα δὲ δύο τείχη ἔχοντα ἐν τῷ μέσῳ πύργον ἕνα, καὶ ὁ πρὸς τῇ πύλῃ πύργος τοῦ ἁγίου Ῥωμανοῦ ἔκειντο χαμαί, ὁρῶντες τοὺς ἔνδον, καὶ ὁρώμενοι ὑπ᾽ αὐτῶν. ὁ δὲ Ἰουστινιανὸς Ἰωάννης γενναίως ἐμάχετο σὺν πᾶσι τοῖς ὑπ᾽ αὐτῷ, καὶ τοῖς τοῦ παλατίου, ἔχοντες ἐκ τοῦ Γαλατᾶ μέρος οὐκ ὀλίγον ἀνδρῶν ἐνόπλων, καὶ γὰρ ἦσαν αὐτοὶ δεικνύντες ἀγάπην. καὶ ἐξερχόμενοι διῆγον ἐν τῷ κάμπῳ τοῦ φοσάτου

B ἀφόβως, καὶ τὰ ζητούμενα χρειώδη ἐδίδοσαν ἀφθόνως τῷ τυράννῳ, καὶ ἔλαιον διὰ τὰς σκευάς, καὶ ἄλλο εἴ τι αἰτοῦντες οἱ Τοῦρκοι ἐφαίνοντο· τοῖς δὲ Ῥωμαίοις κρύφα, καὶ διὰ τῆς νυκτὸς διαβαίνοντες τὴν ἡμέραν πᾶσαν συμμαχοῦντες ἦσαν· τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐναλλαττόμενοι ἄλλοι ἐν τῇ πόλει, καὶ αὐτοὶ ἐν τοῖς οἴκοις καὶ τῷ φοσάτῳ διέτριβον διὰ τὸ λανθάνειν τοὺς Τούρκους· οἱ δὲ Βενέτικοι ἐν τῇ Βασιλικῇ πύλῃ μέχρι τοῦ Κυνηγοῦ σὺν Ῥωμαίοις ὁμοῦ τοῖς Τούρκοις ἐμάχοντο. ὁ δὲ μέγας Δούκας σὺν φ´ ἐνόπλοις ἐν τῇ πόλει περιεπόλει, θαρρύνων ἁπανταχοῦ τοὺς στρατιώτας, καὶ στοχαζόμενος τὰς βίγλας, καὶ ἐρευνῶν τοὺς παραλελοιπομένους, καὶ τοῦτο ἐποίει καθ᾽ ἑκάστην ἡμέραν. οὐ

C γὰρ συνεκρότησε πόλεμον ἀληθῆ ὁ ἀλάστωρ, ἐκδεχόμενος τὴν ὥραν τὴν σκοπευομένην παρὰ τῶν μάντεων. Ὁ Βασιλεὺς δὲ ἰδὼν τὰ τείχη πεσόντα, καὶ κακὸν σημεῖον κατὰ τῆς πόλεως, καὶ κατ᾽ αὐτοῦ κρίνων τὴν πτῶσιν. καὶ γὰρ οὐκ ἔτυχεν ἀπὸ τοὺς καιροὺς Κωνσταντίνου τοῦ ἁγιωτάτου ἐν τοσούτοις πολέμοις Σκυθικοῖς, Περσικοῖς, Ἀραβικοῖς τοῦ γενέσθαι πτῶσιν ἑνὸς λίθου βαροῦντος λίτρας μιᾶς. τότε δὲ τοσαῦτον ἑώρα, καὶ τόσον στρατὸν ἀναρίθμητον, καὶ στόλον βαρύν, καὶ πλατεῖαν ὁδὸν, ἀπεγνώκει, ἀπήλπισε, καὶ στείλας πρέσβεις ἐδέετο τοῦ τυράννου ἵνα ὅσον βούλεται τέλος κατ᾽ ἔτος, καὶ ὑπὲρ τὴν δύναμιν, καὶ ἄλλα ζητήματα, μόνον ἀναχωρῆσαι τοῦ ἐκεῖ, δοῦναι καὶ

D εἰρήνην ἀσπάσασθαι. Ὁ δὲ τύραννος εἶπεν· οὐκ ἔστι δυνατὸν ἀναχωρῆσαί με. ἢ τὴν πόλιν λαβεῖν, ἢ ἡ πόλις λαμβάνει με ἢ ζῶντα ἢ τεθνεῶτα. εἰ μὲν βούλει τοῦ ἀναχωρῆσαι ταύτης μετ᾽ εἰρήνης, δίδωμί σοι τὴν Πελοπόννησον. καὶ αὐτοῖς τοῖς σοῖς ἀδελφοῖς δώσω ἑτέρας ἐπαρχίας, καὶ ἐσόμεθα φίλοι. εἰ δὲ οὐ παραχωρήσεις μοι τὴν εἴσοδον εἰρηνικῶς, καὶ διὰ μάχης εἰσέλθω πάντας τοὺς μεγιστᾶνάς σου σὺν σοὶ πατάξω ῥομφαίᾳ, καὶ τὸν λοιπὸν ἅπαντα λαὸν τῷ βουλομένῳ παντὶ τῷ ἀμετρήτῳ στρατῷ χορηγήσω πραιδεῦσαι, κἀμοὶ ἡ πόλις ἀρκεῖ μοι κενή. Ταῦτα ὁ βασιλεὺς ἀκούσας, καὶ μηδ᾽ ἀποστολὴν ἐν τῷ συμβάλλειν, οὐ γὰρ ἦν δυνατὸν παραδοθῆναι τὴν πόλιν

E τοῖς Τούρκοις ἐκ τῶν χειρῶν τῶν Ῥωμαίων. εἰ γὰρ εἶχε τοῦτο γενέσθαι, ποίαν ὁδὸν, ἢ ποῖον τόπον, ἢ πόλιν εἶχον μετοικῆσαι Χριστιανῶν τοῦ μὴ καταπτύειν, καὶ ὀνειδίζειν, καὶ σφακελίζειν τοὺς Ῥωμαίους; οὐχὶ μόνον Χριστιανοὶ, ἀλλὰ καὶ αὐτοὶ Τοῦρκοι, καὶ Ἑβραῖοι εἶχον ἐξουθενεῖν αὐτούς· τότε ὁ Λόγγος Ἰουστινιανὸς ἐσκέψατο διὰ τῆς νυκτὸς προσεγγίσαι ταῖς διήρεσι, καὶ ἐμπρῆσαι ταύτας. καὶ δὴ ἑτοιμάσας μίαν τῶν τριήρεων, καὶ

βαλὼν ἐν αὐτῇ τοὺς δοκιμωτάτους τῶν Ἰταλῶν, καὶ παντοῖα μηχανικὰ σκεύη, ἵστατο ἐκδεχόμενος τὴν ὥραν· οἱ δὲ Γενουῗται τοῦ Γαλατᾶ μαθόντες τὸ δρώμενον ἀπήγγειλαν τοῖς Τούρκοις. οἱ δὲ τῇ νυκτὶ ἐκείνῃ ἄγρυπνοι διανυκτερεύσαντες, καὶ σκευὰς ἑτοίμως παραταξάμενοι τοὺς Λατίνους ἐκδέχοντο. οἱ δὲ Λατῖνοι μὴ γνόντες τὸ μελετηθὲν παρὰ τῶν τοῦ Γαλατᾶ εἰς τοὺς ἀσεβεῖς, περὶ μέσας νύκτας ἄρασα τὰς ἀγκύρας ἡ τριήρης ἀψοφητὶ τοῖς πλοίοις πλησιάζουσα ἦν. οἱ δὲ Τοῦρκοι ἐν τῇ βοτάνῃ τῆς σκευῆς πῦρ βάλλοντες, ἦσαν γὰρ ἐν ὅλῃ τῇ νυκτὶ ἐγρηγοροῦντες, καὶ δὴ ἐκπεμφθεὶς ὁ λίθος κατὰ τῆς τριήρεως, καὶ σὺν ἤχῳ πλείστῳ κρούσας αὐτὴν, ἔβαλε κάτω ὑποβρύχιον σὺν τοῖς ἐπιβάταις, πέμψας εἰς βυθόν· τοῦτο τοὺς Λατίνους εἰς φόβον, καὶ ἀγωνίαν οὐ μικρὰν ἐνέβαλε, καὶ τὸν Ἰωάννην οὐκ εἰς μικρὰν ἀθυμίαν, ἦσαν γὰρ οἱ καταποντισθέντες ἅπαντες ἐκ τῆς αὐτοῦ νηὸς εὔζωνοι νέοι, καὶ λίαν πολεμισταὶ ὑπὲρ τοὺς ρν'. οἱ δὲ Τοῦρκοι ἐπαρθέντες ἐπὶ τῇ εὐδαιμονίᾳ, καὶ φωνὴν μεγάλην ἄραντες σὺν ἀλαλαγμῷ πάντες, καὶ οἱ ἐν τοῖς πλοίοις, καὶ οἱ ἐν ταῖς σκηναῖς τόσον ἦχον ἐν οὐρανοῖς ἐξέπεμψαν, ὡς δοκεῖν τὸ κλίμα ἐκεῖνο τῆς γῆς σείεσθαι, καὶ ἐκ τοῦ φόβου καὶ οἱ τῆς πόλεως, καὶ οἱ τοῦ Γαλατᾶ πάντες ἐβόων· ἡμέρας οὖν γενομένης, καὶ χαρμοσύνως τε, καὶ εὐθαρσῶς καταπολεμίζοντες, ἐναβρυνόμενοι ἐπὶ τῇ ἀπροσδοκήτῳ καταβολῇ τῆς τριήρεως, ἄλλον λίθον καὶ αὐτὸν παμμεγέθη τῇ φωλεᾷ τῆς χωνείας ἐνήρμοσαν. καὶ δὴ ἱσταμένης μιᾶς νηὸς ἐν τῇ πύλῃ τοῦ Γαλατᾶ ἐγγὺς, φερούσης φόρτον ἐμπορικὸν παντοίων εἰδῶν, καὶ μελλούσης ἐν Ἰταλίᾳ πλέειν, ἦν γὰρ καὶ ἡ ναῦς, καὶ ὁ φόρτος τῶν ἐμπόρων τοῦ Γαλατᾶ, ἀφέντες οἱ Τοῦρκοι τὸν λίθον διέρρηξαν τὴν γαστέρα τῆς νηὸς, καὶ διαρραγείσης ἄρδην κατεποντίσθη ἐν τῷ βυθῷ. τοῦτο τὸ δῶρον ἀντάμειψις τῆς ἀκραιφνοῦς φιλίας, ἧς ἐπεδείξαντο Τοῦρκοι τοῖς Γαλατίνοις. ἀπήεσαν γὰρ ἐν τοῖς μεγιστᾶσιν αὐτῇ τῇ ἡμέρᾳ βοῶντες, ὡς ὑμεῖς φιλοῦντες, καὶ τὰ τῆς φιλίας πράττοντες ἐσημάναμεν τὴν ἔλευσιν τῆς τριήρεως· καὶ γὰρ εἰ οὐκ ἐστὶ παρ' ἡμῶν ἐναντιωθέντες τὴν ἔλευσιν αὐτῆς, εἰς κενὸν ἂν ἦσαν οἱ τόσοι κόποι τῶν διὰ ξηρᾶς εἰσαχθέντων ἐν τῷ λιμένι ὀγδοήκοντα πλοίων. τέφρα γὰρ ἔμελλον γεγονέναι καὶ κόνις παρὰ τῶν Ῥωμαίων. ὑμεῖς δὲ τὴν ἀντιμισθίαν πληρώσαντες ἐποιήσατε ἡμῖν τὴν τοιαύτην ζημίαν. οἱ δὲ μεσάζοντες ἀπεκρίναντο, ὅτι μὴ γινώσκοντες ὑμετέραν εἶναι τὴν ναῦν, ἀλλὰ θαρροῦντες τῶν ἐναντίων εἶναι, τοῦτο πεπράχαμεν. ἔχετε οὖν θάῤῥος, καὶ εὔχεσθε τοῦ λαβεῖν ἡμᾶς τὴν πόλιν, καὶ γὰρ ἤδη πάρεστι, καὶ ὁ καιρὸς ἐγγύς ἐστι, καὶ τότε πᾶσα ζημία, καὶ πᾶν ἕτερον τὸ ὀφειλόμενον ὑμῖν δοθήσεται. Σὺν τούτοις τοῖς μειλιχίοις λόγοις ἀπῆσαν· μὴ εἰδότες οἱ ἄθλιοι, ὅτι καὶ αὐτοὶ, καὶ ἡ πόλις αὐτῶν, ὡς ἡ Κωνσταντίνου, οὕτω καὶ αὐτοὶ γενήσονται μετ' ὀλίγον· ὁ δὲ τύραννος κατεσκεύασε καὶ γέφυραν ξυλίνην ἀπὸ τῶν τοῦ Γαλατᾶ βλέπων εἰς Κυνηγὸν, ἡ δὲ κατασκευὴ ἦν οὕτως. ἀθροίσας κελεύσει οἰνοδόχα ἀγγεῖα ὑπὲρ τὰ χίλια, καὶ δήσας καλωδίοις εἰς πλάτος ὅσον τὰ δύο ἀγγεῖα κατὰ μῆκος τίθενται, ὁρμαθὸν ἕνα, καὶ ἕτερον πάλιν ὁρμαθὸν ὅμοιον τῷ πρώτῳ· εἶτα συνάψας, καὶ συναρμόσας τοὺς δύο ὁρμαθοὺς, καὶ δοκοὺς ἐκ τῶν δύο μερῶν προσηλώσας, σανίδας κατέστρωσε. καὶ ἐγεγόνει εἰς πλάτος ἡ γέφυρα, ὥστε ἀπότας πέντε κατὰ πλάτος διέρχεσθαι στρατιώτας πεζούς.

χει σήμερον ἡμέρας μ΄. ὁ δὲ νῦν ἡγεμονεύων ὁ υἱὸς αὐτοῦ ἐστιν ἡγεμὼν πρὸ χρόνων ἕξ. καὶ γὰρ ἐλινύρης ὢν ὁ πατὴρ, καὶ κατάκοιτος ἐδωρήσατο τὴν ἡγεμονίαν τῷ υἱῷ αὐτοῦ, ὃς καὶ ἦλθεν εἰς προσκύνησιν καὶ μίαν, καὶ δὶς, καὶ ἐν τῇ πόλει φέρων προσαγορεύσεις χαροποιοὺς τῷ μεγάλῳ ἡγεμόνι. οἱ δὲ εἶπον· ἄφες ἃ λέγεις, σήμερον ἐγεγόνει, καὶ οὐκ ἔστιν ἄλλως κληθῆναι ἡγεμὼν Λέσβου, πλὴν τοῦ ἐλθεῖν, καὶ λαβεῖν τὴν ἡγεμονίαν παρὰ τοῦ ὑψηλοτάτου ἡγεμόνος· ἄπιθι τοίνυν καὶ λαβὼν αὐτὸν ἐλθέ. εἰ δ᾽ ἄλλως γένηται, ἐκεῖνος οἶδε τὸ μέλλον· στραφεὶς δὲ ἐγὼ ἐν Μιτυλήνῃ, καὶ λαβὼν τὸν ἡγεμόνα σὺν μερικοῖς ἄρχουσι Λατίνοις τε, καὶ Ῥωμαίοις. ἀναθέντες εἰς Θεὸν τὰς ἐλπίδας ἐξήλθομεν τῆς νήσου, καὶ διαβάντες τὴν Χερρόνησον ἤλθομεν εἰς Ἀδριανοῦ. ὁ δὲ ἡγεμὼν τόπον ἐκ τόπου ἀμείβων διὰ τὴν πληγὴν τοῦ βουβῶνος, ἦν γὰρ τῷ τότε καιρῷ ἐν τῇ Χερρονήσῳ, καὶ ἐν πάσῃ τῇ Θρᾴκῃ τοσαύτη λοιμώδης νόσος, ὡς ἀτάφους πολλοὺς ῥίπτεσθαι ἐν ταῖς τριόδοις. μαθόντες οὖν ὅτι ὁ ἡγεμὼν ἐν τῇ Φιλιππουπόλει διάγει, καὶ ἡμεῖς ἐν αὐτῇ. εὑρόντες δὲ τὸν ἡγεμόνα πρὸ δύο ἡμερῶν ἀπάραντα, ἦν γὰρ καὶ ἐκεῖ τὸ δεινὸν τῆς νόσου, καὶ πρὸς τὰ τῆς Σοφίας μέρη στρατεύοντα. καὶ ἡμεῖς ἀπὸ Φιλίππου ἀπάραντες, καὶ ὄρη δύσβατα διαβάντες, τῇ τρίτῃ ἡμέρᾳ ἤλθομεν εἰς τινὰ κώμην Βουλγάρων Ἰζλατὴ καλουμένην. ἐκεῖ καὶ τὸ στρατόπεδον σὺν τῷ τυράννῳ * κατασκηνοῦν. ἐλθόντες δὲ καὶ σὺν δώροις πλείσταις ἐμφανισθέντες τοῖς πατρικίοις, τῷ τε Μαχμοὺτ Πασίᾳ, καὶ τῷ Σεϊτῇ Ἀχμὰτ Πασίᾳ, τῇ ἐπαύριον τῷ ἡγεμόνι ἐμφανεῖς γεγόναμεν· καὶ ἀσπασάμενος ὁ Μιτυλήνης ἡγεμὼν τοῦ τυράννου τὴν χεῖρα, ἐξήλθομεν. τῇ ἐπαύριον δὲ διὰ τῶν πατρικίων μήνυμα ἐγεγόνει πρὸς τὸν ἡμέτερον ἡγεμόνα παρὰ τοῦ τυράννου, ὡς ἂν τὴν νῆσον Θάσον βούλεται, καὶ αἰτεῖ ταύτην παρ᾽ αὐτοῦ τοῦ δωρήσασθαι. ὁ δὲ Λέσβου μὴ ἔχων τί τοῦ ἀντειπεῖν, ἢ λαλῆσαι, τὴν νῆσον ἐδωρήσατο. τῇ δ᾽ ἐπιούσῃ ἄλλο μήνυμα, ἵνα τοὺς φόρους, οὓς κατ᾽ ἔτος ἐλάμβανε, βούλεται διπλασιάσαι. ὁ δὲ ἡγεμὼν τῆς Μιτυλήνης ἐν τούτῳ δυσφορήσας ἀπελογίσατο, ὅτι εἰ καὶ τὴν Λέσβον ὅλην βούλεται λαβεῖν ὑπὸ τὴν αὐτοῦ ἐξουσίαν ἐστί. πλὴν ἃ αἰτεῖ ὑπὲρ τὴν ἐμὴν δύναμιν ἐστί. πλὴν δέομαι αὐθένται μου τοῦ δοῦναί μοι χεῖρα βοηθείας. τότε οἱ Μεσάζοντες παρακαλέσαντες τὸν τύραννον, ἐπρόσθηκαν ἕτερα χίλια νομίσματα, καὶ οὐ πλέον. ἦν γὰρ κατ᾽ ἔτος πληρουμένου τρισχίλια νομίσματα, ἐγένοντο δὲ τετρακισχίλια. τότε ἐνέδυσαν αὐτὸν χρυσοΰφαντον στολὴν, καὶ ἡμᾶς σηρικά, καὶ ἐγγράφους ὁρκωμοσίας ποιήσαντες ἐξήλθομεν, καὶ δι᾽ ἡμερῶν τρισκαίδεκα ἐν τῇ νήσῳ Λέσβῳ κατηντήσαμεν, δοξάσαντες ἅπαντες τὸν λυτρωσάμενον ἡμᾶς Θεὸν ἐκ τῶν χειρῶν τοῦ ἀλάστορος. Ὁ δὲ τύραννος, καθὼς προέφημεν, στόλον ἀπαρτίσας μικρὸν τριήρεις δέκα, καὶ διήρεις ἑτέρας δέκα, ἔτι ὄντων ἡμῶν ἐν Φιλιππουπόλει, ἔχων στρατηγὸν Γενούζην ὀνόματι νεανίαν εὐειδῆ, ὃν καὶ προεχειρίσατο ἔπαρχον Καλλιουπόλεως, καὶ μέγαν κοντόσταυλον τοῦ στόλου. καὶ ἀπάρας ἐξ Ἑλλησπόντου κατὰ τῆς Χίου ἔπλεεν. ἐλθὼν δὲ εἰς Τρῳάδα· καὶ ἐκ τῆς Τρῳάδος ἀρξαμένου τὰ ἱστία πτερῶσαι, καὶ ἰδοὺ λαῖλαψ βαρεῖα, καὶ ἦχος πνευμάτων πολύς. ἀνέμου βαρέος πνέοντος, καὶ τὴν θάλατταν ἀναμοχλεύοντος, καὶ βίᾳ τοὺς ἐπιβάτας σὺν ταῖς ναυσὶν ἄλλην ὁδὸν τρέπειν κελευούσης, πέντε ἐκ τῶν εἴκοσι κατεποντίσθησαν, καὶ δύο ἐν ταῖς ἀκταῖς συνετρίβησαν· καὶ ὁ τοῦ κοντοσταύλου Γενούζη ναύκληρος δεινὸς ἐν τοιαύταις, καὶ τοσαύταις ταραχαῖς, καὶ κλυδωνισμοῖς τῆς θαλάσσης, ἦν γὰρ Λατῖνος Ἰσπανὸς τῷ γένει, πρύμναν κρούσας, καὶ τὸ ῥόθιον τῶν κυμάτων ἡμερώσας τε, καὶ ἐπισχὼν

A *vimum decumberet, filio suo principatu sponte decessit; ab eoque tempore semel atque iterum principem magnum adoraturus, eique gratulaturus in urbem venit. Missa fac ista,* inquiunt, *hodie sic fit: nec ut Lesbi princeps appelletur, fieri potest, nisi postquam celsissimum principem adierit, & ab eo principatum impetraverit. Abi itaque & illa operam ut illum huc conducas. Sin minus obtemperaverit novit ille quid futurum sit.* Reversus itaque Mitylenem, cum aliquot præcipuis viris Latinis & Romæis Lesbi principem edduxi. Spe nostra in Deum reposita ex insula solvimus, & Cherronesum emensi Adrianopolim pervenimus. At princeps ob grassantem pestem sedes subinde mutabat: quippe ista pestiferi morbi contagio Chersoneso & toti Thraciæ ita infesta erat, ut B in triviis insepulta cadavera jacerent. Cum itaque principem Philippopoli morari comperissemus, eo contendimus; postquam vero illuc advenimus, ipsum ante biduum inde, ob vim morbi sævientem discessisse, & Sophiam versus movisse didicimus. Philippopoli itaque abeuntes montibus arduis ac asperis superatis, tridui itinere ad vicum quemdam Bulgarorum Izlati dictum, ubi Tyrannus castra habebat, pervenimus. Nobiles & Satrapes Mahmutem, & Seidi Ahmetem Bassas plurima dona ostentantes convenimus; postridie coram Imperatore nos stitimus, cujus manum postquam deosculatus est Mitylenes princeps, subito ab eo exivimus. Sequenti die per Basses suos Tyrannus principi noC stro significet, se postulare, ut Thasus insule sibi dono detur. cui se verbis opponere aut contrestare cum nequiret Lesbi princeps, eam concessit. Postridie aliud ab eo affertur, poscere nimirum duplo amplius annuum tributum consueto sibi solvi. Hoc graviter ferens Mitylenæus respondit, *totam etiam Lesbum, si habere sibi voluerit, accipere ille potest: quæ vero a me poscit, vires ac facultates meas longe superant: Veruntamen Domini, ut me hoc in negotio juvetis, vos rogo.* Mesazontes Tyrannum hac de re admonent, & placant, iteut solis mille nummis tributum auxetit; annua itaque pensio, quæ hactenus trium millium fuerat, ad quatuor millia aucta est. Vestem auro intextam ipsum, D nosque ejus domesticos et comites sericas tum induerunt: conscriptis pactis sacramento mutuo firmatis discessimus, & die decimotertio in Lesbum, collaudante Deum, qui ex manibus iniqui nos salvos eripuerat, pervenimus. Tyrannus, ut in superioribus dictum, dum Philippopoli morabamur, decem biremium totidemque triremium classem instruxerat, cui Genuzim formosum juvenem, Callipoleos quoque præfectura, ac Contostabuli magni dignitate auctum, præfecerat. Ille Hellesponto solvit & in Chium navigat; cum vero Troadis oris advectus vela dedisset ventis, turbine procelloso sonoroque circumvenitur. Venti salo incussi, fluctusque intumescentis impetu ac E vehementia, vectores cum navibus cursum alio dirigere cogunt; e viginti navibus eversas quinque deprimunt; duæ insuper littoribus impactæ naufragio perierunt. Contostabli Genuzæ nauclerus navigandi peritus, hisce procellis ac maris insanientis agitationibus exercitus, Latinus quippe, genere Hispanus erat, puppi volutatis fluctibus obversa, eorum impetum paulatim et opportune gubernaculo frangere, ac per aulum navigare;

Lesbi novum principem adire Sultanum debere Veziri contendunt.

Lesbi princeps Sultanum adit.

Lesbi princeps Sultani manu deosculatur.

Thasum insulam Sultanus petit, & a Lesbio accipit.

Vectigal duplo majus a Lesbio petit Mehemetes.

Edit. Paris. pag. 187.

Triente tantum augetur.

Classis in Chia a Turcis missa. Genuzes Callipoleos gubernator, & archithalassus seu Contostaulus classem regit.

Classis pars naufragio perit.

Chii deinde oram occidentalem Cycladasque insulas die illo prætervectas, sequenti nocte, reddita cælo tranquillitate, Chii oram orientalem mane legere; qua agnita, hymni & cantici Deo & prophetæ suo decantati, & gratiæ ab iis actæ. O divini judicii profunditas! in tanta maris agitatione, tamque æstuante salo, quare navis illa fluctibus absorpta non est? propter peccata equidem nostra Tyranni discipulus salvus evasit. Sola namque triremis, qua Genuzes vehebatur, a cæterarum cursu, quæ in portum Mitylenes integræ pervenerunt, aberrando sejuncta fuerat. Ibi sciscitantur ab incolis numquid de Duce suo comperissent. cumque illic conspectum non fuisse audiissent, valde commoti ac perturbati restant. Sub vesperam, velum, quod biremis esse putabatur, a Chii partibus in conspectum se dat. Mitylenæa erat a principis Lesbi fratre in Chium missa, ut specularetur exploraretque, num Catalanorum prædatoriæ naves ab occidente advenissent, de his deinceps Turcos, ut sibi rebusque suis providerent, caverentque, monituri. Jam ab initio Lesbii illiberali turpique servituti obnoxii, rem explorare, deque ea monere tenentur. Quod si de prædonum adventu certiores facere Turcos neglexerint: damnum, quantumcumque his inferatur, resarcire, illis onus incumbit: idque ab ipsis præstandum a Pergami fluvii ostio usque ad Assum urbem, quæ hodie Machramion appellatur. Postquam biremis in portum subiit, aliud velum procul conspicitur, ex cujus amplitudine & color in varietate, classis præfectum adesse conjectantibus lætitia injecta est. Is demum in portum devehitur, & in terram escensu facto, sub tentoriis a servis suis erectis, a jactatione & æstu maris se refecit. Syr (id est Dominus) Nicolaus Gateluzus principis Lesbi frater apparato ad eum excipiendum convivio magno, ab arce ad Contostauli tentorium descendit; haudque diu illic moratus redit. Iratus tunc iniqui discipulus, fraudem ei hancce causam prætexendo struit. *Biremem*, inquit, *quam in hunc usque portum persecutus sum, & cuncta quæ ea vehuntur, mea esse assero.* (ea quidem illustris & e præcipuis Chiorum familiis fœmina advecta erat, magni pretii mundo muliebri ex auro argentoque secum allato.) *Illam, si Domini mei amicitiam colere vobis propositum est, mihi restituite. Quod si facere recusaveritis ad Amiram magnum jamjam scripturus sum.* Responderunt Mitylenæi; *quas nobis causas, ignoramus; biremem in Chium propter alios usus nostros necessarios destinavimus; illa vero, de qua verba facis, fœmina nobilis multo jam tempore hic moratur;* Principis Mitylenes illa socrus erat, quam ab insula discessurus ille accersiverat, ut Dominæ filiæ suæ adesset, & levandæ solitudinis causa tempus cum ea ageret: remque ita se habere verissimum est. His fide non adhibita Contostablus, quæ sibi visa sunt, Amiræ scripsit; indeque solvit, & Phocæam novam appulit: nuncioque misso præcipuos viros, magistratumque loci, ut ad eum conveniant, monet; at ipsi eum adituri processerant, antequam ab eo nuncius venisset. Illis Contostablas Tyranni scripta mandata recitat, quibus ille, nisi arcem sponte dederent, omnibus servitutis jugum oppidique ruinam minitabatur. Oppidani attoniti, nulla ratione opposita aut respon-

Lesbii tenebantur piratas explorare, & eorum adventum notificare.

Edit. Paris. pag. 588.

Contostaulus Genuzes a Lesbi principe humane exceptus, scelestas litem movet.

Biremem iisque ea vehebantur, resque omnes sibi tradi poscit.

Recusant Chii.

Ad Sultanum Genuzes scribit.

Phocæa nova Turcis dedita & Genuensia direptæ facultates.

A διὰ τῶν πηδαλίων χίζων, ἔπλει τῷ πελάγει. καὶ διαβὰς τὴν Χίον ἀπὸ τῶν ἑσπερίων, καὶ περάσας τὰς Κυκλάδας νήσους ἐν ὅλῃ τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ διὰ τῆς νυκτὸς εὐδίας γενομένης πρωῒ παραστάντες τὴν Χίον εἰς τὰ πρὸς ἕω, καὶ γνωρίσαντες ταύτην εἶναι τὴν νῆσον, χαριστηρίους ᾠδὰς ἀπέπεμψαν τῷ Θεῷ, καὶ τῷ προφήτῃ αὐτῶν Μωάμεθ. ὢ Θεοῦ κριμάτων ἄβυσσος. ἐν τῷ τοσούτῳ κλύδωνι, καὶ τῇ βιαίᾳ ταραχῇ τῆς θαλάσσης πῶς οὐ κατεποντίσθη ἡ ναῦς; ἀλλὰ διὰ τὰς ἁμαρτίας ἡμῶν ἐσώθη ὁ μαθητὴς τοῦ τυράννου. ἦν γὰρ μόνη ἡ τριήρης ἡ ἐξορισθεῖσα τοῦ Γενούζη, αἱ δὲ λοιπαὶ διασωθεῖσαι κατῆλθον ἐν τῷ λιμένι τῆς Μιτυλήνης. ἐρωτήσαντες δὲ περὶ τοῦ ἀρχηγοῦ, ὡς ἔμαθον ὅτι οὐκ ἐφάνη τοῖς B ἐκεῖσε μέρεσιν, ἐν ἀδημονίᾳ ἦσαν. τότε πρὸς ἑσπέραν ἤδη γενομένης τῆς ἡμέρας, ἐκ τῶν τῆς Χίου μερῶν ἀνεφάνη ὡς διήρεος ἄρμενον, ἦν δὲ ἡ διήρης αὕτη τῆς Μιτυλήνης σταλεῖσα παρὰ τοῦ ἀδελφοῦ τοῦ ἡγεμόνος ἐν τῇ Χίῳ, τοῦ μαθεῖν εἰ ἄρα ἐκ τῶν ἑσπερίων ἦλθασι λῃστρικαὶ νῆες τῶν Κατελάνων, ἵνα δώσωσι γνῶσιν τοὺς γείτονας Τούρκους τοῦ φυλαχθῆναι. ἦν γὰρ ἐξ ἀρχῆς τοῦτο τὸ μήνυμα, δουλεία ἀνελεύθερος τῶν Λεσβίων. ὅπως μὴ φθάσαντες δοῦναι λόγον τῆς ἐφόδου τῶν λῃστῶν, εἴ τις ἄρα ζημία γενήσεται ἐν τοῖς Τούρκοις, αὐτοὶ οἱ Λέσβιοι τὸ ἀνῆκον τοῖς Τούρκοις ἀποδώσουσι. τὰ δὲ ὅρια τῆς δουλείας ἀπὸ τοῦ ποταμοῦ Περγάμου ἄχρι Ασσοπόλεως, ἣ νῦν καλεῖται Μαχράμιον. εἰσελθού- C σα ἡ διήρης ἐν τῷ λιμένι, ἐξέθορε, καὶ ἕτερον ἄρμενον, καὶ ἰδόντες τὰ ἱστία εὐρύχωρα, καὶ κοκκινοβαφῆ, ὑπέλαβον τὸν στρατηγὸν εἶναι καὶ ἐχάρησαν. εἰσελθὼν δὲ ἐν τῷ λιμένι, καὶ τένταν πήξαντες ἐν τῇ ξηρᾷ, ἐξῆλθε καὶ ἀνεπαύσατο ἐκ τοῦ πολλοῦ σάλου, καὶ κλύδωνος. Ὁ δὲ ἀδελφὸς τοῦ ἡγεμόνος Κὺρ Νικόλαος Γατελοῦζος ποιήσας δοχὴν μεγάλην, κατῆλθεν ἀπὸ τοῦ κάστρου εἰς τὴν σκηνήν, καὶ μικρὸν καθίσας ἐπανῆλθε. Τότε ὁ τοῦ δολίου ἀλάστορος μαθητὴς ὀργισθεὶς, δόλον ῥάπτει κατ' αὐτοῦ λέγων· ὅτι ἡ διήρης, ἣν ἐγὼ καταδιώξας ἤλαυνον ἕως ὧδε ἐμὴ ὑπάρχει, αὐτή τε καὶ τὰ ἐν αὐτῇ. ὑπῆρχε γοῦν ἐντὸς ἐν αὐτῇ μία τῶν γυναικῶν ἐκ τῶν ἀρχόντων τῆς Χίου ἡ ἐνδοξοτέρα, ἔχουσα μεθ' αὐτῆς D κόσμον πολὺν χρυσοῦ τε, καὶ ἀργύρου. εἰ οὖν τοῦ ἐμοῦ κυρίου φίλοι ἐστὲ, ἀπόδοτε ταύτην ἐμοί. εἰ δὲ μήγε, τῇ ὥρᾳ ταύτῃ γράφω ταῦτα τῷ μεγάλῳ Αμηρᾷ. Οἱ δὲ ἀπεκρίναντο, ὅτι οὐκ οἴδαμεν ἃ λέγεις, καὶ γὰρ δι' ἑτέρας ἡμετέρας χρείας ἐστάλθη ἡ διήρης ἀφ' ἡμῶν ἐν Χίῳ· τὴν δὲ εὐγενίδα, ἣν σὺ λέγεις, πρὸ πολλοῦ ἐστὶν ὧδε. ἦν γὰρ πενθερὰ τοῦ ἡγεμόνος, καὶ ὅτε ἔμελλεν ἐξελθεῖν, μετεκαλέσατο ταύτην τοῦ συνδιάγειν μετὰ τῆς κυρίας καὶ θυγατρὸς αὐτῆς, καὶ γὰρ οὕτως ἔχει καὶ ἡ ἀλήθεια. Ὁ δὲ στρατηγὸς ἀκούσας ταῦτα, καὶ μὴ πιστεύσας γράφει πρὸς τὸν Αμηρᾶν ἃ ἐβούλετο· καὶ ἀπάρας ἐκεῖθεν εἰς Φώκαιαν ἔρχεται τὴν ἐπονομαζομένην νέαν, καὶ στέλλει πρὸς τοὺς ἄρχοντας, καὶ πρὸς τὸν πο- E δεστάτον τῆς χώρας μήνυμα τοῦ ἐξελθεῖν, καὶ συνοδευθῆναι σὺν ἐκείνῳ. ἐκεῖνοι δὲ καὶ πρὸ τοῦ ἐλθεῖν τὸ μήνυμα ἐξῆλθον, καὶ συνωδεύθησαν· ὁ δὲ στρατηγὸς δείξας αὐτοῖς καὶ ἀναγνοὺς τὸ πρόσταγμα τοῦ τυράννου, καὶ γὰρ ἦν γεγραμμένον ἐὰν οἱ ἐκουσίως μὴ δώσωσι τὸ πολίχνιον πάντας ἄρδην αἰχμαλωτίσωσι, καὶ τὴν πόλιν κατασκάψωσιν. Οἱ δὲ τῆς πόλεως ἄνευ λόγου, ἢ ἀποκρίσεως προδόντες τὴν χώραν ἐντὸς εἰ-

Digitized by Google

σίεισαν· καὶ τοὺς μὲν ἐμπόρους τῶν Γενουιτῶν τοὺς εὑρεθέντας ἐκεῖ τὰς πραγματείας ἀφεῖλον, αὐτοὺς δὲ ἐν ταῖς τριήρεσιν ἐνέβαλον. τοὺς δὲ πολίτας ἅπαντας καταγράψας, καὶ τοὺς παῖδας, καὶ παιδίσκας ἐγγύς που ἑκατὸν ἀφελών, καὶ φύλακα τῷ πολιχνίῳ ἕνα τῶν Τούρκων ἐγκαταστήσας, καὶ πεντεκαίδεκα ἡμέρας τελέσας ἐκεῖ, ἐξῆλθασιν αἱ τριήρεις τῇ πεντεκαιδεκάτῃ τοῦ Νοεμβρίου μηνὸς ,ϛϡξδʹ. ἔτους. φθάσασαι δὲ αἱ τριήρεις ἐν Καλλιουπόλει, καὶ μαθὼν ὁ στρατηγός, ὅτι ὁ ἡγεμὼν ἐν Κωνσταντινουπόλει διάγει, καὶ αὐτὸς ἱππεύσας, καὶ τοὺς αἰχμαλώτους σὺν τοῖς παισὶ λαβὼν ᾤχετο. ὁ δὲ ἡγεμὼν ἰδὼν τοὺς ἐμπόρους, καὶ μαθὼν αὐτοὺς Γενουίτας εἶναι ἐκέλευσε πραθῆναι. ὃ καὶ γέγονεν. Ὁ ἡγεμὼν δὲ τῆς Λέσβου ἐλθὼν ἐν Μιτυλήνῃ, καὶ μαθὼν παρὰ τοῦ αὐταδέλφου τὰ συμβάντα, καὶ ὅπως ὁ στρατηγὸς ἐζήτει τὴν πενθερὰν αὐτοῦ, ὡς τῆς Χίου μίαν οὖσαν τῶν ἐκεῖ εὐγενίδων, καὶ τὰ ἑξῆς, στέλλει ἐμὲ ἀπολογησόμενον περὶ τῆς ὑποθέσεως ταύτης. ἐλθὼν δὲ ἐν Κωνσταντινουπόλει, καὶ διαλεχθεὶς ἐνώπιον τῶν Βεζυρίδων σὺν τῷ στρατηγῷ Γενούζῃ, καὶ εἰπὼν ἐνόρκως ἐγὼ τὴν πᾶσαν ἀλήθειαν, καὶ ὁ Γενούζης ἐνόρκως τὸ πᾶν ψεῦδος, ἐδικαιώθη ἐκεῖνος, καὶ κατεκρίθην ἐγώ. Κελεύει οὖν ὁ ἡγεμὼν ἐκ τῶν δύο τὸ ἓν ἑλέσθαι, ἢ δέκα χιλιάδας νομίσματα χρυσίου τίσαι, ἢ μάχην γενέσθαι. ἐγὼ ἀνθιστάμενος τῇ τοσαύτῃ ἀδικίᾳ, αὐτὸς διὰ προστάγματος, τινὸς μὴ γινώσκοντος, πέμψας ἕνα τῶν δούλων εἷλε Φώκαιαν τὴν παλαιὰν λεγομένην, ἥτις ὑπῆρχε τοῦ ἡγεμόνος Λέσβου, Δεκεμβρίου μηνὸς κδʹ. τοῦ ,ϛϡξδʹ. ἔτους. τότε μαθὼν ὁ τύραννος τὴν ἅλωσιν Φωκαίας ἀπέλυσεν ἐμέ, καὶ τὴν δίκην κατέπαυσεν. ἀπάρας δὲ ἀπὸ Κωνσταντινουπόλεως τῇ κδʹ. τοῦ Ἰανουαρίου μηνὸς κατῆλθεν εἰς Αἶνον, καὶ ταύτην παρέλαβε, καὶ παῖδας, καὶ παιδίσκας λαβὼν ἐστράφη εἰς Ἀδριανούπολιν. ὁ δὲ ἡγεμὼν τῆς Αἴνου ἦν διάγων τῷ τότε καιρῷ ἐν Σαμοθράκῃ τῇ νήσῳ.

A so dato, Turcos intra mœnia accipiunt. Genuenses mercatores, qui illic negotiabantur, direptis eorum bonis ac opibus, triremibus impositi; oppidanorum omnium censa capita, pueri puellæque circiter centum abducti. Arcis custodiæ Turcus impositus; ibique diebus quindecim transactis, Novembris die xv. anni 6964. (Christi 1455.) e portu triremes solverunt. Contostablus Callipolim appulsus Constantinopoli principem agere comperit. quare terrestri itinere captivis & pueris secum abductis eques eo proficiscitur. Mercatores isti, ubi principi Genuenses esse innotuerunt, ejus jussu væniere. At Lesbi princeps Mitylenem profectus, de iis quæ acciderant a fratre certior factus; atque socrus sua, utpote Chia nobilis, B aliaque a Contostablo repetebantur: causam suam apud Imperatorem ut agerem, me misit. Constantinopolim cum venissem apud Veziros causam egi, & cum Contostablo Genuza litigavi; quæcumque attuleram vera esse jurejurando affirmavi. Ille pariter, etsi falsa ac ficta, juratus, quæ dixit, vera esse asseruit; secundum quem, me victo, vindiciæ datæ sunt. Alterum etiam e duobus Imperator eligendum proponit, aut aureorum nummorum decem millia solvere, aut, quod Lesbiis inferetur, bello se parare. Tam alienæ ab æquo & bono injuriæ cum obsisterem, ipse omnibus inscîis suorum satellitum unum mittit, qui Phocæam veterem, ditionis Lesbii principis oppidum C Decembris mensis xxiv. die anno mundi 6954. (Christi 1455.) occupavit. Captam Phocæam ubi rescivit Tyrannus absolutum me dimisit. Ipse Januarii die xxiv. Constantinopoli abiit, & ad Ænum movit; qua recepta, abductisque puerilis ætatis maribus ac fœminis, Adrianopolim contendit, per id tempus insula Samothrace Æni principe commorante.

1455. Christi.

Edit. Paris. pag. 189.

Genuenses Phocæa advecti & vænumdati.

Ducis adversus Genuzem pro Lesbi principe causam coram Sultano agit, sed cadit.

Decem aureorum millia a Lesbio petit Mehemetes.

Phocæa vetus a Turcis occupata.

CAPUT XLV.

Chii bello petiti a Mehemete grandi ære pacem emunt. Lemnii Turcos advocant, eorumque princeps Nicolaus insula pellitur. Mehemetes Belogradum frustra obsidet. Callistus Papa triremes ad opes insularibus ferendas mittit. Catalani insulas occupant, & Lesbius in suspicionem apud Mehemetem venit, occidentales ipsum advocasse. Legati a Comanis & Usun-Hassane ad Mehemetem. Castrum septem turrium, vulgo Jedicula Constantinopoli constructum. Mehemetis in Moream profectio. Rezestanum Constantinopoli ædificatum. In Asiam trajicit Mehemetes. ejus verba ad familiarem quemdam suum curiosum. Sinopes principem, & Trapezuntinum Imperatorem ditionibus spoliatos in Europam trajicit. A Valacho tributa petit, qui ea dare negat, ad se missos palo transfigit. Turcos Hamza duce ditionem suam invadentes cædit, vivos captos palo quoque transfigit. Mehemetes improspero successu in eum movet. Lesbum a principe Nicolao, qui Dominicum fratrem suum strangularat, repetit. In Lesbum transit Mehemetes, ad deditionem compellat, recedit, & obsidendæ Mitylenes onus Mahumeti Veziro imponit.

ΕΑΡΟΣ δὲ ἀρχομένου κελεύει ὁ τύραννος στόλον μέγαν γενέσθαι κατὰ τῆς Χίου. οἱ δὲ Χῖοι μαθόντες πέμπουσι πρέσβεις, καὶ πολλὰ καμόντες

D Jam ver inierat, cum classem ingentem ad invadendum Chium instrui Tyrannus imperat. quare Chii bello se peti animadvertentes legatos destinant;

Mehemetes Chium invadere classe ad id instructa parat.

Edit. Paris. pag. 190.

qui, postquam longis disputationibus certarunt, tandem paciscuntur, damni biremis demersæ Turcorumque, qui simul perierant, præstandi causa, triginta millia aureorum solvere: annuumque tributum decem millium aureorum pendere; pace demum composita abierunt.

Chilgeandi pecunia & annuo vectigali promisso se liberant.

Interea Lemnii principi suo Nicolao infensi, e præcipuis viris aliquos ad Tyrannum clam mittunt; qui eum rogarent, ut suorum aliquem regendæ insulæ præficeret.

Lemnii Turcos accersunt.

Conditione avide accepta, Eunucho Ismaeli Callipoleos & Chersonesi, post exactum inde Geuzem Cariæque gubernandæ impositum, præfecto ac Contostablo hunc rerum statum declarat, jubetque ut in Lemnum triremibus naviget, & Hamzam insulæ secundum leges ex æquo & bono gubernandæ prætorem constituat.

Contostaulus idem & Callipoleos gubernator Ismael.

Dum hæc gerebantur, Lesbi princeps biremem unam simulque navem armatis centum pluribusve instructas, quarum Johannes Fontana & Spineta Columbotus duces erant, mittit; mandatque, ut si exploratum habuerint Lemnios actorum suorum pœnitentia duci, leniter ac mansuete cum iis agant, colloquiis blandis, conditionibusque æquis in insulæ possessionem restituant. Sin minus id obtineri posset, fratrem suum Nicolaum, qui in vetere arce habitabat, secum assumerent, reverterenturque.

Lesbi princeps fratri suo Nicolao opem fert.

Verum mandatis haud obsecuti, in terram armati exscendunt, & hostiliter se gerunt. Lemnii itaque præter propter quingenti conscensis equis in fugam versos partim cædunt, partim ad littus insecuti, tam strenue fugientibus instant, ut in mare, quo hausti sunt, præcipites se dare cogerent: quadraginta insuper capti, cæteri, qui in biremi & navi remanserant, Nicolao secum abducto in Lesbum renavigant.

Duces a Lesbio missi perperam mandata exequuntur.

Post triduum Lemnum appulit Ismael, Hamzamque novum præfectum advexit; & compertis, quæ nuper gesta erant, Lemnios laudat.

Nicolaus Lemno relicta in Lesbum fugit.

Mense Majo anni 6964 (Christi 1456) Lesbios vinctos avehens Callipolim redit. deque iis quæ in Lemno successerant Tyrannum certiorem facit, inque Lesbios & eorum principem ira incendit.

Christi 1456.

Impræseos vero ad Belogradum ingenti exercitu, machinarumque apparatu maximo expugnandam conversis cogitationibus expeditionem suscipit.

Expeditio Mehemetis ad oppugnandam Belogradum.

Hac urbe obsidione cincta, globisque lapideis everso muro, navigiisque sexaginta fluvii navigatione intercepta, oppugnatio eo processit, ut Turci eam ingressi prædas jam agerent. At supra memoratus Jancus eadem die superato fluvio urbem intravit, hostesque insecutus, plerisque eorum cæsis vel vulneratis, expulit. Eruptione etiam cum ingenti militum manu ex portis facta, tormentis omnibus potitur: & Turcorum maxima strage edita, ipso etiam Tyranno in femore vulnerato, intra urbem receptus Turcorum navigia demum incendit.

Pag. 191. Turci ad Belogradum cæduntur.

Tyrannus contumeliam ac repulsam passus Adrianopolim remeat, bello se petiturum anno novo Belogradum minitatus; hæcce porro anni prædicti mense Julio gesta sunt. Sequente Augusto, ut tributum, quod Lesbi princeps annuum pendit, solverem, missus sum. Eo numerato, quos Lemnii tamquam proditionis reos tradiderant, repetenti mihi negati: jubetque Tyrannus ipsos Adrianopoli carceribus inclusos capite plecti; dumque ad supplicium ducerentur, pœnitentia actus vænumdari imperat, mille-

Ducis ad Mehemetem ut vectigal solveret missos.

Lesbii in Lemno capti veneunt.

A συνέθεντο δοῦναι ἕνεκα τῆς διήρεως καὶ τῶν σὺν αὐτῇ ἀπολωλότων Τούρκων χρυσίνα νομίσματα τριάκοντα χιλιάδας, καὶ κατ' ἔτος φόρους δέκα χιλιάδας. ποιήσαντες οὖν εἰρήνην τάχα ἀπῄεσαν. οἱ Λήμνιοι δὲ κακογνωμήσαντες κατὰ τοῦ ἀρχηγοῦ αὐτῶν Νικολάου, πέμπουσι κρύφα τινὰς τῶν ἀρχόντων, ζητοῦσι παρὰ τοῦ τυράννου ἕνα τῶν δούλων αὐτοῦ, τὸν ἡγεμονεύειν τὴν νῆσον. ὁ δὲ προθύμως τὸν λόγον ἀκούσας μηνύει τῷ εὐνούχῳ Ἰσμαὴλ τότε ἐπάρχῳ ὄντι Καλλιουπόλεως. ἦν γὰρ ὁ Γεούζης ἐκβεβληκὼς, καὶ τὴν ἐπαρχίαν Καρίας ἐπιστατῶν. ὁ δὲ Ἰσμαὴλ ἀντεισάχθη Κοντοσταῦλος, καὶ ἔπαρχος ἐν Χερρονήσῳ. προστάττει οὖν τοῦ ἀπελθεῖν ἐν τῇ Λήμνῳ, σὺν τριήρεσι, καὶ παραδοῦναι τὴν νῆσον Χαμζᾷ τῷ δούλῳ,

B τοῦ ἐπάρχειν καὶ διοικεῖν ἃ θέμις. ἐν ὅσῳ δὲ ταῦτα ἐπράττετο, ὁ ἡγεμὼν τῆς Λέσβου στείλας μίαν τῶν διήρεων αὐτοῦ, καὶ ναῦν σὺν ἀνδράσιν ἑκατὸν, ἢ καὶ πλέον, ἔχοντες στρατηγοὺς Ἰωάννην Φουντάναν τινὰ, καὶ Σπινέταν Κυλυμπότην, ἀναθεὶς αὐτοῖς, ὡς εἰ ἴδωσι τοὺς Λημνίους μεταμεληθέντας εἰς ἃ πεπράχασιν, ἱλαρῶς πως εἰς αὐτοὺς βλέψωσι, καὶ διὰ γλυκέων ῥημάτων, καὶ συνθηκῶν πάλιν εἰς αὐτὸν τὴν νῆσον ἐπαναστραφῆναι ποιήσωσιν· εἰ δ' οὐ, λαβόντες τὸν ἀδελφὸν αὐτοῦ Νικόλαον ἐπαναστρέψωσι, ἦν γὰρ αὐτὸς ἐν τῷ παλαιοκάστρῳ αὐλιζόμενος. οἱ δὲ οὐχ οὕτω πεπράχασιν, ἀλλ' ἐξελθόντες σὺν ὅπλοις ἐμάχοντο. οἱ δὲ Λήμνιοι ἐξελθόντες ἔφιπποι ὡς πεντακόσιοι τούτους κατετροπώσαντο, καὶ τοὺς

C μὲν κατέσφαξαν, τοὺς δὲ τῇ θαλάσσῃ καταδιώξαντες ἀπέπνιξαν, αὐτοχειρὶ δὲ ἕως τεσσαράκοντα ἔλαβον. οἱ δὲ καταλειφθέντες ἐν τῇ διήρει, καὶ τῇ νηῒ λαβόντες τὸν Νικόλαον εἰς Λέσβον ἀπῄεσαν· καὶ μεθ' ἡμέρας τρεῖς ἦλθεν ὁ Ἰσμαὴλ ἐν τῇ Λήμνῳ ἄγων τὸν Χαμζὰν τὸν νέον ἔπαρχον. μαθὼν δὲ τὰ γενόμενα ἐπῄνεσε τοὺς Λημνίους, τοὺς δὲ Λεσβίους λαβὼν δεσμίους, ἐστράφη εἰς Καλλιούπολιν Μαΐῳ μηνὶ τοῦ ,ϛϡξδʹ. ἔτους. μηνύσας δὲ τῷ τυράννῳ τὰ συμβάντα ἐν Λήμνῳ, καὶ θυμοῦ πλησθεὶς κατὰ τοῦ Λέσβου, καὶ τοῦ ἡγεμόνος, αὐτὸς πρὸς Βελόγραδον ἔρχεται σὺν δυνάμει βαρείᾳ, καὶ μηχανικαῖς παρασκευαῖς πλείσταις. ἐλθὼν δὲ καὶ διὰ τῶν πετροβολισμῶν βαλὼν κάτω τὰ τείχη, ἔχων καὶ διὰ τοῦ ποτα-

D μοῦ πλοῖα ἕως ξʹ, εἰς τοῦτον κατέλιπε τὰ τοῦ πολέμου, ὡς καὶ ἐντὸς εἰσελθεῖν τοὺς Τούρκους, καὶ εἰς πραῖδαν ἄρξασθαι. τότε ὁ Ἰάγγος, ὃν προλαβὼν ὁ λόγος ἐδήλωσε, περάσας τὸν ποταμὸν, ἦν γὰρ φθάσας τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ εἰσελθὼν, καὶ καταδιώξας αὐτοὺς, τοὺς μὲν σφάττων τοὺς δὲ πλήττων ἐξήλασε τῆς πόλεως. ἐξελθὼν δὲ τὰς πύλας καὶ αὐτὸς σὺν στρατιώταις πλείστοις ἔλαβε τὴν πολεμικὴν πᾶσαν παρασκευήν. καὶ πολλοὺς τῶν Τούρκων φονεύσας, ὡς καὶ αὐτὸν τὸν τύραννον πληγῆναι ἐν τῷ μηρῷ, τέλος ἐν τῇ πόλει ὑπέστρεψε, καὶ τὰ πλοῖα τῶν Τούρκων πυρὶ παρέδωκεν. ὁ δὲ τύραννος κατῃσχυμμένος ὑποστρέψας ἐν Ἀδριανουπόλει, τὸ ἐπιὸν ἔτος ἠπείλει κατὰ τοῦ Βελογράδου στρατεῦσαι. ἦ-

E σαν δὲ ταῦτα γενόμενα μηνὶ Ἰουλίῳ αὐτοῦ ἔτους. ἐν δὲ τῷ Αὐγούστῳ μηνὶ ἐπέμφθην ἐγὼ φέρων τὸ κατ' ἔτος διδόμενον τέλος παρὰ τοῦ ἡγεμόνος Λέσβου. δοὺς δ' αὐτὸ, καὶ ζητήσας τοὺς, οὓς οἱ Λήμνιοι παρέδωκαν ὡς ἀπίστους, οὐκ ἠθέλησε δοῦναι. ἀλλὰ μᾶλλον ἐκέλευσε τὰς κεφαλὰς αὐτῶν ἀποτμηθῆναι, ἦσαν γὰρ ἐν Ἀδριανουπόλει ἔγκλειστοι· ὡς δὲ ἀπήγαγον αὐτοὺς εἰς τὸν τόπον τῆς σφαγῆς, μεταμεληθεὶς ὁ τύραν-

Digitized by Google

τύραννος ἐκέλευσε πραθῆναι τίνος, καὶ ἀγοράθησαν εἰς A νομίσματα χίλια. ἐν δὲ τῷ ,ϛϡξέ. ἔτει ἦλθασιν ἐκ τῆς Ῥώμης τριήρεις ἕνδεκα ἔχοντες ἀρχηγὸν πατριάρχην τῆς Ἀκυϊλίας, πεμφθεῖσαι παρὰ τοῦ Πάπα Καλλίστου εἰς βοήθειαν τῶν νήσων τῶν πλησιαζόντων τοῖς Τούρκοις, οἷον Ῥόδον, Χῖον, Λέσβον, Λῆμνον, Ἴμβρον, Σαμοθρᾴκην, καὶ Θάσον, ἀπήντησαν οὖν εἰς Ῥόδον, ὡς ὑπὸ τοῦ Πάπαι τελοῦσαν, καὶ φόρους μὴ θελήσασαν δοῦναι τοῖς Τούρκοις. ἀπὸ δὲ Ῥόδου ἀπάραντες ἦλθασιν ἐν Χίῳ, αἰτοῦντες τοῦ μὴ δοῦναι φόρους τοῖς Τούρκοις, ἀλλὰ μάχην μᾶλλον ἑλέσθαι, οἱ δ᾽ οὐκ ἐπείσθησαν. ὁμοίως καὶ ἐν Λέσβῳ καὶ αὐτοὶ τὰ ὅμοια. ἀπὸ δὲ Λέσβου ἀθροισθέντων τοῦ Πάπα, τῶν Κατελάνων, καὶ ἑτέρων λῃστρικῶν πλοίων τὸν ἀριθμὸν ἕως μ΄. ἀπήεσαν ἐν τῇ Λήμνῳ, καὶ παραλαβόντες τὴν νῆσον ἦλθασιν ἐν Σαμο- B θρᾴκῃ, καὶ λαβόντες καὶ ταύτην εἰς Θάσον ἐγένοντο. καὶ φύλακας ἐνθέντες ἐν ταῖς νήσοις, καὶ καλῶς ἀσφαλίσαντες εἰς Ῥόδον ὑπέστρεψαν· τότε ὁ τύραννος μαθὼν τὰ γενόμενα, τὴν πᾶσαν αἰτίαν τῷ ἡγεμόνι τῆς Λέσβου ἀπέγραψε, καὶ δὴ μάχην κραταιὰν ἐνστήσας κατ᾽ αὐτοῦ, στόλον ἀπαρτίζει βαρύν, καὶ τῷ Αὐγούστῳ μηνὶ πέμπει τοῦτον ἐν Λέσβῳ, ἔχων ἀρχηγὸν τὸν Ἰσμαήλ. καὶ δὴ ἐς Μήθυμναν ἐλθών, καὶ πολλὰς μεθόδους, καὶ μηχανικὰς πράξεις διά τε πετροβολισμοὺς καὶ κλίμακας, καὶ τειχορυχίας εἰσπράξας οὐδὲν ἀνύσατο, ἀλλὰ καὶ μᾶλλον πολλοὺς ἀπεβάλλετο τῶν οἰκείων καὶ οὕτως ὑπέστρεψεν ἄπρακτος. ἐν δὲ τῷ ,ϛϡξϛ΄. ἔτει στέλλει πρὸς τοὺς δεσπότας Πελοποννήσου δοῦλον ἕνα, δι᾽ ὁρισμοῦ φρικώδους διαλαμβάνων· πῶς ὑμεῖς οἰκειοθελῶς ὑ- C πεσχέθητε τοῦ δοῦναί μοι φόρους κατ᾽ ἔτος νομίσματα χιλιάδας δέκα, νῦν δὲ ὁρῶ ὑμᾶς καταφρονοῦντάς με, καὶ τῶν συνθηκῶν ἀμελήσαντας. ἐὰν τῶν δύο ὅπου θέλετε τὸ ἀρεστόν, ἢ τὰ χρεωστημένα πληρώσατε, καὶ ἔσται ἀγάπη ἐν μέσῳ ἡμῶν, καὶ ὑμῶν, ἢ ταχέως ἐξέλθετε ἀφέντες τὸν τόπον ἐν τῇ ἐμῇ δεσποτείᾳ. καὶ γὰρ ἦσαν χρεωστοῦντες τριῶν ἐτῶν τέλος. ἐν δὲ τῷ ἔτει τούτῳ ἐστάλησαν ἀποκρισιάριοι παρὰ τῶν Κομάνων. παρὰ τοῦ δεσπόζοντος τὰ μέρη τῆς Ἀρμενίας, καὶ γειτνιάζοντος τοῖς Κόλχοις Οὐζοὺν Χασὰν αἰτῶν παρ᾽ αὐτοῦ τινὰ περιφρονήσεως πράγματα. λέγων κεχρεωστῆσθαι αὐτῷ τέλος ἑξήκοντα ἐτῶν ξ΄. τοῦ δοῦναι κατ᾽ ἔτος χίλια σαγίσματα διὰ τοὺς ἵππους αὐτοῦ, καὶ χίλια ταγηστήρια, καὶ χίλια κεφαλοδέσμια, ἅτινα ἔταξε τοῦ δοῦναι κατ᾽ D ἔτος ὁ πάππος αὐτοῦ πρὸς τὸν πάππον ἐκείνου. Ὁ δὲ ἀπεκρίνατο· ὑπάγετε ἐν εἰρήνῃ, κἀγὼ τῷ ἐπερχομένῳ ἔτει κομίσω ταῦτα σὺν ἐμοί, καὶ ἀποδώσω τὸ χρέος. Ὁ δὲ τύραννος τῷ χειμῶνι ἐκείνῳ ἤρξατο οἰκοδομεῖν, πρὸς τὸ ἄκρον τῆς πόλεως τὸ καλούμενον χρυσέα πύλη, πολίχνιον, τὸ ὁ Ἰωάννης ὁ γέρων ὁ βασιλεὺς ἐβουλήθη τοῦ κτίσαι. καὶ ὁ Παγιαζὴτ ὁ τοῦ τυράννου πάππος ἐκώλυσεν αὐτόν. τοῦ δὲ ἔαρος ἤδη ἐλθόντος, καὶ εἰς ἓν τὰς δυνάμεις ἀθροίσαντος ἐπὶ τὴν Πελοπόννησον ὥρμησε, καὶ πρῶτον Κόρινθον ἔσχεν ἄνευ πολέμου. μαθόντες οὖν οἱ δεσπόται τὸ γεγονός, ὁ μὲν Θωμᾶς πρὸς Ἰταλίαν ἐχώρησε σὺν γυναικὶ καὶ τέκνοις. ὁ δὲ Δημήτριος, παρεδόθη ἑκών, καὶ προσεκύνησε τῷ τυράννῳ. παραλαβὼν οὖν πᾶσαν Πελοπόννη- E σον, καὶ ἐγκαταστήσας ἀρχηγούς, καὶ ἡγεμόνας, αὐτὸς εἰς τὴν Ἀδριανοῦ ὥρμησε, φέρων μετ᾽ αὐτοῦ πανοικὶ τὸν Δημήτριον, ἄγων σὺν αὐτῷ καὶ τοὺς τοῦ παλατίου, καὶ τοὺς λογάδας, καὶ εὐτυχεῖς πάσης Ἀχαΐας, Λακεδαιμονίας, καὶ τῶν λοιπῶν ἐπαρχιῶν. τοὺς δὲ τῶν Ἀλβανῶν ἄρχοντας πάντας κατέσφαξε, οὐκ ἄλλο τῶν πολιχνίων ἐάσας πλὴν Μονεμβασίας, καὶ τοῦτον ἄκων, καὶ μὴ βουλόμενος. τὴν δὲ διὰ θαλάσ-

A que nummis vænire. Anno 6965 (Christi 1467) triremes undecim a Papa Callisto missæ, cujus classis prætor erat Aquileæ Patriarcha, Roma advenerunt; insulis Turcorum ditioni adjacentibus Rhodo, Chio, Lesbo, Lemno, Imbro, Samothracæ & Thaso opem laturæ. Rhodum, quod Papæ subdita, nec Turcis tributa pendere pacta esset, primum appulsi, in Chium inde navigant; hortanturque ne Turcis vectigal pendere, sed bello potius experiri velint; quibus Chii haud paruere. Lesbum pariter advecti eamdem ad incolas orationem habuere, simileque responsum ab iis tulere. Cum a Lesbo solvissent Papæ triremes, Catalanorum aliorumque piratarum navibus adjunctis, quadraginta simul Lemnum ap- B pellunt, insulaque potiti Samothracem navigant; eaque capta Thasum feruntur. Præsidiis validis has insulas munierunt firmaruntque, & Rhodum deinceps redierunt. At Tyrannus eorum gnarus, Lesbique principem auctorem suspicatus, atrox bellum in eum movere destinans, classem ingentem apparat; eamque mense Augusto in Lesbum Ismaele duca mittit. Is ergo Methymnam cum devenisset, multis artibus, machinis tormentisque muros tentasset, scalis etiam admotis, ductisque cuniculis; re improspere gesta ac infecta, multis etiam suorum amissis pedem retulit. Anno 6966 (Christi 1457) ad Peloponesi Despotas satellitem unum cum horrendis manda- C tis destinat. *Quo animo decem millium nummorum vectigal annuum sponte polliciti mihi estis; cum nunc me a vobis sperni, pactaque negligi videam? Alterutrum, quod vobis potius fuerit, eligite; vel soluto mihi vectigali* (cujus triennii integri pensiones debebantur) *amicitia & pax inter nos stabiles sint, vel locis, quæ occupatis, mihi decedite.* Eodem etiam anno a Comanis ad Mehemetem Apocrisiarii, atque ab Usun-Hasana Armeniæ partibus Colchidi finitimis imperante, res quasdam viles, nulliusque pretii flagitantes venere. Ipsi enim asserebant deberi sibi sexaginta annorum pluriumve stipendia, quæ singulis annis Mehemetis avus Usun-Hasanis avo solvi præceperat, mille nimirum e- D quis insternendis stragula, mille tapetes, totidemque mitrarum redimicula. Respondit illis Mehemetes: *securi redite, anno proximo mecum illa afferam, & debitum solvam.* Per illam hyemem in extrema urbis parte, ad Auream portam appellata, arcem construere cœpit Tyrannus. Quam Johannes senior olim conditurus, a Bajazite Tyranni abavo vetitus est. Vere autem jam ineunte, contractis simul copiis in Peloponesum movit. Corinthus citra belli discrimen ab eo deditione recepta. De iis quæ gerebantur certiores facti Despotæ, alter, Thomas nimirum, Italiam cum uxore & liberis petit: alter, Demetrius Tyranno sponte se permisit, & eum veneratus est. Tota ergo Peloponeso sub- E acta atque præfectis impositis Adrianopolim revertitur, Demetriumque cum tota ejus domo, cæterosque palatii officiales secum abducit; Eximios quoque ac divites viros ex Achaja, Lacedæmone aliisque provinciis transfert. At Albanorum proceres ac præcipuos interfecit: nec aliam arcem integram præter Monembasiam, etiamque invitus, reliquit. Maritima autem expeditione suscepta, missis in Ægeum mare & Cycladas in-

1457. Triremes mittit Papa Callistus insulis auxilia ferentes.

Turcis ne vectigalia solvant Christianos hortantur.

Insulas aliquot occupat classis occidentalium.

Suspectum sibi Lesbum Mehemetes bello petit sed frustra.

Cum minis atrocibus a Despotis Peloponesi vectigal repetit.

Edit. Paris. pag. 192.

A Comanis & Usun-Hasane legati ad Mehemetem veniunt.

Castrum Heptaculades seu Jedi-culs a Mehemete exstructum. 1458. In Moream movet Mehemetes, & magnates in alias regiones transfert.

Albanos occidit.

sidas adversus hostes biremibus triremibusque circiter centum octoginta, cum nihil profecisset, ex Peloponeso familias bis mille, totidemque pueros transportat. hi quidem militiæ tyronibus adscripti; familiis pars urbis Constantinopoleos habitanda concessa. Hiemem ipsa partim Adrianopoli partim Constantinop. transegit, navemque ingentis magnitudinis fabricari curavit. In urbe etiam theatrum extruxit, quod vestium forum, Persice vero Bezestan, appellatur. Anno 6969 (Christi 1461) Classem biremium triremiumque circiter ducentarum naviumque decem apparavit, Labente vere fratum ipse transvectus Prusam Bithyniæ venit, cunctis consilii ejus ignaris; circa quod mirabile quoddam referam. Doctor legis ipsius, qui & judex judicum eo tempore erat, familiaritati, quæ ipsi cum Principe intercedebat, reverentiæ etiam ab eo sibi exhibitæ confisus, cum solus ei adesset, audacter sciscitatur: *Domine hunc exercitum terra marique instructum, quo movere jubes?* Ille subiratus eum intuetur, dixitque: *Heus tu hoc a me disce, si mihi constaret barbæ meæ pilum unum arcani mei conscium esse, avulsum, cum igne me crematurum*; tam dissimulatus ac iracundus natura ipse erat. Hujus expeditionis fama, non solum qui Lycostomium incolunt Walachi, sed & Caphatini, Trapezuntii, Sinopenses, & Ægæi maris insulæ, Rhodus partæque ei circumjectæ territi erant. Chios etiam & Lesbos, quamvis vectigales, ejus inconstantem ac levem animum reformidabant. Princeps Bithynia discedens Ancyram Galatiæ petit, ubi castra cum posuisset, Sinopes Principis filius cum donis quamplurimis ad eum a patre missus, servili habitu ac more venerabundus adit. Humane ac comiter a Principe susceptus, quæcumque patri suo ab illo afferenda erant, nuncii munus ipse apud parentem obiturus audivit; quæ ejusmodi fuere: *Patri tuo nuncia Sinopem mihi dedi valde me cupere: quam si sponte, nec vi coactus, decesserit, Philippopoleos præfecturam ipsi gratificatus donabo. quod si parere recusaverit; brevi accedam.* Classis interea Pontico mari Sinopem advenit. Filius Ismaelis Sinopes Principis ad patrem quoque profectus Tyranni verba omnia retulit. Classem vero Sinopem appulsam esse Tyrannus certior factus, terrestri quoque itinere eo contendit. Ismael animi anceps, opis ac consilii egenus, Sinope in occursum ejus egreditur, ac submisse adorat. a Tyranno comiter benigneque susceptus, jussusque omnes thesauros suos auferre, equos, mulos, camelos cæteraque asportare, quæcumque in horreis & penu habebat; omnesque de illis quidquam contrectare vetiti. Rebus ergo Sinopensibus recte constitutis, Prætore urbi uno mancipiorum suorum imposito, Armeniæ interiora petit. Interea prædictus Princeps Usun-Hasan Persidis fines montanos cum suis occupaverat, viribusque inferior, quam ut acie concurrere cum tyranno posset, illic tempus transigebat. Peragrata Armenia, Phasique flumine superato regiones quasdam debellavit ille: alias cum subigere non potuisset, transcurrit: montem Caucasum multo labore, cibariorum & necessariorum penuria artatus superavit, Colchosque devenit. Trapezuntem cum accessisset illius Imperatori per nuncium

Juventus ex Peloponeso translata, & familiæ integræ Constantinopolim deductæ.

Bezestan ædificatum Constantinopoli 1461.

In Asiam trajicit Mehemetes.

Secretum principis inquirenti Doctori, quid Mehemetes responderit.

Edit. Paris. pag 193.

Ad Mehemetis profectionem universi maris accolæ & insulares trepidant.

Sinopensem Principem invadit, & spoliat.

Sinopes res constituit, & Prætorem præficit Mehemetes.

Usun-Hasan in montes aufugit.

Phasim superat Mehemetes.

Colchos & Trapezuntem venit.

A σας τῶν τελάρων πρὸς ἐχθροὺς εἰσβολὴν, ἐν Αἰγαίῳ πελάγει διὰ τῶν Κυκλάδων νήσων ἔστειλε τὸν ἀριθμὸν ὡς ρπ', διήρεις καὶ τετρήρεις μηδὲν ὠφεληθέντας, μετοικίσας ἐκ τῆς Πελοποννήσου φαμιλίας δισχιλίας δήπου, καὶ παῖδας ἰσαρίθμους. τοὺς μὲν παῖδας εἰς τὸ λεκτὸν στρατὸν κατεγράψατο, τὰς δὲ οἰκίας ἐν τῷ τῆς πόλεως μέρει κατέθετο. αὐτὸς οὖν τὸν χειμῶνα ἐν Ἀδριανουπόλει καὶ Κωνσταντινουπόλει διάγει πήξας ναῦν ὑπερμεγέθη· καὶ δομήσας θέατρον ἐν τῇ πόλει, ὃ καὶ βεστιοπρατήριον λέγεται, καὶ Περσιστὶ Πεζεστάνιον ὀνομάζεται. ἐν δὲ τῷ ,ςϡξθ', ἔτει ἐποίησε στόλον τετρήρων καὶ διήρεων μέχρι που τῶν σ', καὶ νῆας ι'. αὐτὸς δὲ τῷ ἔαρι τὸν πορθμὸν διαβὰς ἦλθεν εἰς Προῦσαν τῆς Βιθυνίας, μὴ ἐπισταμένου τινὸς, μηδὲ νοήσαντος τὴν βουλήν· εἴπω καί τι B παράδοξον. Ὁ νομοδιδάσκαλος αὐτοῦ, ὃς καὶ κριτὴς κριτῶν ὑπῆρχε τῷ τότε καιρῷ, θαρρήσας ὡς πρὸς τὴν πλησιότητα ἣν εἶχεν πρὸς τὸν ἡγεμόνα, καὶ ὁ ἡγεμὼν πάλιν ὡς πρὸς τὴν εὐλάβειαν ἣν ἐδείκνυε πρὸς τὸν διδάσκαλον, τολμήσας λέγει τῷ ἡγεμόνι ἔτι ὄντων αὐτῶν κατὰ μόνας· Κύριε, τὴν παράταξιν ταύτην τὴν διὰ ξηρᾶς καὶ διὰ θαλάσσης ἑτοιμασθεῖσαν ποῦ κελεύεις φέρεσθαι; ὁ δὲ ὀργίλως πῶς ἐμβλέψας εἰς αὐτὸν ἔφη· Ἴθι, ὦ οὗτος, εἰ ᾔδειν ὅτι ἐκ τῶν τοῦ πώγωνός μου τριχῶν θρὶξ μία ἀπελάβετό μου τὸ μυστήριον, ἀποσπάσας ἂν αὐτὴν πυρὶ παρέδωκα. Τοσοῦτον κρυψίνους ὁ ἀνὴρ καὶ ὀργίλος. φοβηθέντες πάντες οἱ οἰκοῦντες ἐν τε τῷ Λυκοστομίῳ Βλάχοι. ἀλλὰ δὴ καὶ Καφᾶς, Τραπεζοῦς, καὶ οἱ Σινωπεῖς, αἵ τε νῆσοι τοῦ Αἰγαίου πελά- C γους, Ῥόδος καὶ τὰ πέριξ αὐτῆς νησίδια, Χῖος καὶ Λέσβος, εἰ καὶ τελοῦντες ἦσαν, ἀλλὰ τὴν ἀκαταστασίαν αὐτοῦ γινώσκοντες ἐτρόμαξαν. Ὁ δὲ ἡγεμὼν ἀπάρας ἀπὸ Βιθυνίας ἦλθεν εἰς Ἄγκυραν τῆς Γαλατίας, κἀκεῖ τὰς σκηνὰς πήξας, ὁ τῆς Σινώπεως ἡγεμὼν στείλας τὸν υἱὸν αὐτοῦ μετὰ πλείστης δωροφορίας, καὶ προϋπαντήσας αὐτῷ δουλικῶς προσεκύνησεν. Ὁ δὲ ὑπεδέξατο τοῦτον ἀσμένως, καὶ τὰ τῷ ἰδίῳ πατρὶ μέλλοντα ῥηθησόμενα τούτῳ ἀπήγγειλε, καὶ αὐτὸν ὡς ἄγγελον τῶν ῥηθησομένων πάντα κατεῖπε, λέγων· ἀνάγγειλον τῷ πατρί σου, ὅτι τὴν Σινώπην βούλομαι, καὶ εἰ μὲν ταύτην ἐλευθέρως παράσχοι, κἀγὼ χαριέντως ἀνταποδίδω αὐτῷ τὴν ἐπαρχίαν τῆς Φιλιππουπόλεως. εἰ δὲ οὐ, ἔρχομαι ταχύ. ὁ δὲ στόλος διὰ τῆς θαλάσσης τῆς Ποντικῆς ἔφθασεν D ἐν Σινώπῃ. ὁ υἱὸς δὲ τοῦ Ἰσμαὴλ ἡγεμόνος τῆς Σινώπης ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ, καὶ ἀνήγγειλεν αὐτῷ πάντα τὰ λαληθέντα παρὰ τοῦ τυράννου. Τύραννος δὲ μαθὼν τὴν ἀνάβασιν τοῦ στόλου γεγονυῖαν ἐν Σινώπῃ, καὶ αὐτὸς διὰ ξηρᾶς εἰς αὐτὴν ὥδευε· ὁ δ' Ἰσμαὴλ ἀπορήσας ἐξῆλθε τῆς Σινώπης, καὶ προϋπαντήσας αὐτῷ, καὶ δουλικῶς προσκυνήσας. ἀσπασίως αὐτὸν ὁ τύραννος ὑπεδέξατο, κελεύσας πάντας τοὺς θησαυροὺς αὐτοῦ λαβεῖν, καὶ ἵππους, καὶ ἡμιόνους, καὶ καμήλους, καὶ ἄλλο εἴ τι ἐν τοῖς αὐτοῦ ταμείοις ἐκέκτητο, καὶ μὴ προσψαῦσαι τίς τι τῶν αὐτοῦ. τὴν Σινώπην οὖν καλῶς ἐγκαταστήσας, καὶ ἡγεμόνα ἕνα τῶν δούλων αὐτοῦ χειροτονήσας, αὐτὸς εἰς τὰ τῆς Ἀρμενίας ἐνδότερα ἐχώρει. ὁ δὲ προρρηθεὶς Οὐζοὺν Χασὰν ἡγεμὼν εἰς τὰ τῆς E Περσίδος ἄκρα ἐπάνω ὀρέων σὺν τοῖς αὐτοῦ διέτριβε, μὴ ἔχων ἰσχὺν καταπροσωπῆσαι τῷ τυράννῳ. περάσας δὲ τὴν Ἀρμενίαν, καὶ διαβὰς τὸν Φάσιδα ποταμὸν, χώρας τὰς μὲν εἷλε, τὰς δὲ ὡς δυσμαθεῖς παρέδραμε, καὶ τὰ Καυκάσια ὄρη μετὰ πολλοῦ τοῦ κόπου καὶ τῆς ὑστερήσεως τῶν ἀναγκαίων ἀναβὰς κατῆλθεν εἰς Κόλχους. καὶ δὴ εἰς Τραπεζοῦντα ἀνελθὼν πέμπει τῷ βασιλεῖ Τραπεζοῦντος ἐκ τῶν δύο ἑλέσθαι τὸ κρεῖττον. ἢ παραδοῦναι τὴν βασιλείαν τῷ

τυράννῳ, ἄνευ ζημίας αὐτοῦ τινὸς ἐκ τῶν ὑπαρχόντων αὐτοῦ θησαυρῶν, ἀργύρου, χρυσοῦ, χαλκοῦ, καὶ παντοίου εἴδους ἄλλου, δούλων τε καὶ δουλίδων, καὶ πάσης ἄλλης κινητῆς ὑποστάσεως. ἢ σὺν τῇ βασιλείᾳ, καὶ ταῦτα πάντα, καὶ τὴν ζωὴν ἀφαιρεθῆναι. Ἀκούσας δὲ ταῦτα ὁ βασιλεὺς, ἐξελθὼν πανοικὶ προσεκύνησεν. ἦν γὰρ ὁ στόλος πρὸ πολλῶν ἡμερῶν ἀπάρας ἀπὸ Σινώπης εἰς Τραπεζοῦντα, ἀλλὰ καὶ πολεμῶν καθ' ἑκάστην οὐδὲν ἤνυσεν, ἕως ὁ τύραννος διὰ ξηρᾶς κατέλαβεν. Ἐξελθὼν δὲ ὁ βασιλεὺς σὺν γυναικὶ καὶ τέκνοις προσεκύνησεν. ἦν δὲ οὗτος Δαβὶδ ὁ Κομνηνὸς, υἱὸς Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ ἀδελφὸς Ἰωάννου Κομνηνοῦ τοῦ προβεβασιλευκότος· στείλας δὲ αὐτὸν ἐν Κωνσταντινουπόλει σὺν ταῖς νεώρεσι πανγενεῖ με * ἑκύρους, θείους, καὶ ἀνεψιοὺς αὐτοῦ, καὶ σὺν τοῖς ἄρχουσι, καὶ εὐγενέσι τοῦ παλατίου· φέρων ὁ καθεὶς τὰ ὑπάρχοντα αὐτοῦ ἄνευ τῶν ἀκινήτων. αὐτὸς δὲ τὰ τῆς Τραπεζοῦντος καλῶς διοικήσας ἐπανέστρεψε χρόνον τέλειον πληρώσας εἰς τὴν ἀποδημίαν αὐτήν. ἐν δὲ τῷ ,ςϡξ. πέμπει πρὸς τὸν Βοϊβόδα Βλαχίας ἀποκρισιάριον μηνύων αὐτῷ τοῦ ἐλθεῖν ἐν τάχει εἰς προσκύνησιν, ἔχων καὶ φέρων σὺν αὐτῷ παῖδας φ', καὶ τὸ κατ' ἔτος διδόμενον τέλος, ἤγουν χρυσίνους χιλιάδας δέκα. αὐτὸς δὲ ἀπεκρίνατο τοὺς μὲν χρυσίνους ἑτοίμους ἔχει τοῦ δοῦναι, τοὺς δὲ παῖδας οὐ δύναται, τὸ δὲ αὐτὸς εἰς προσκύνησιν καὶ τοῦτο ἀδυνατώτερον. Ταῦτα ἀκούσας ὁ τύραννος ἠγριώθη, καὶ στείλας ἕνα τῶν ἐπισήμων σὺν ἑνὶ τῶν γραμματικῶν αὐτοῦ εἶπεν. ἀγάγετέ μοι τοὺς φόρους καὶ περὶ τῶν λοιπῶν ἐγὼ σκέψομαι. οἱ δὲ ἐλθόντες, καὶ τῷ Βλάχῳ τὰ μηνυθέντα δηλώσαντες, πρῶτον αὐτοὺς ἐν πάλοις καθίσειν, θάνατον ἀπάνθρωπον, ὀδυνηρὸν, καὶ ἀσχήμονα. εἶτα περάσας σὺν δυνάμει κατέδραμεν ἐν τοῖς μέρεσι Δύστρας, καὶ πολὺν λαὸν συρφετώδη λαβὼν ἐν Βλαχίᾳ περάσας, πάντας τὸν αὐτὸν θάνατον τῶν πάλων τὴν ζωὴν αὐτῶν ἐξεμέτρησε. καὶ τῶν ἄκρων ἐκείνων εἷς ἀρχηγὸς τοῦ τυράννου, θέλων δεῖξαι ἀριστείαν τινὰ περάσας εἰς Βλαχίαν σὺν χιλιάσι δέκα Τούρκων, καὶ συμβαλὼν αὐτοῖς ὁ Βλάχος, οὓς μὲν ἐν πολέμῳ κτείνας ἔκτεινε, οὓς δὲ ζῶντας ἠγρεύσεν, πάντας τῷ τοῦ πάλου θανάτῳ, καὶ τὸν ἀρχηγὸν αὐτῶν Χαμζᾶν πικρῶς κατεδίκασε. τοῦτον ἰδὼν ὁ τύραννος καὶ πλήρης σκοτοδινίας, καὶ ζάλης τυχὼν, ἁπανταχοῦ συναθροίσας δύναμιν ὑπὲρ τὰς ρν'. χιλιάδας. τῷ καιρῷ τοῦ ἔαρος ἐξελθὼν ἐκ τῆς Ἀδριανοῦ ἦλθεν εἰς Δάνουβιν, ἀφικεῖ τὰς σκηνὰς πήξας, ἔστη ἕως οὗ πᾶσα ἡ δύναμις εἰς ἓν σῶμα γένηται. ὁ δὲ Βλάχος καὶ αὐτὸς πάντας τοὺς ὑπ' αὐτὸν εἰς κλεισούρας καὶ δενδρώδεις τόπους μετοικίσας, καὶ τοὺς κάμπους ἐρήμους ἀφεὶς, καὶ ζώων παντοίων τὰ γένη ἐν τοῖς ἐνδοτέροις ἐλάσας ὁρίοις τοῖς πρὸς Ἀλανοὺς καὶ Οὔννους, αὐτὸς ἐν ὀχυροῖς ἄλσεσι, καὶ δάσεσι τόποις σὺν τῇ ὑπ' αὐτὸν στρατιᾷ διημέρευεν. Ὁ δὲ τύραννος περάσας τὸν Δάνουβιν καὶ ἐπέκεινα ζ'. ἡμερῶν τόπον ἀνύσας, οὐχ εὗρε τὸ σύνολον ἢ ἄνθρωπον ἢ ζῶον τὸ τυχὸν, ἢ τῶν βρωσίμων τε, ἢ ποτίμων. φθάσας οὖν ἐν τινὶ τόπῳ λιβαδιαίῳ, καὶ εὐθέτῳ, ὁρᾷ πάλους πεφυτευμένους μυριαρίθμους, βρίθοντας

A horum alterum, quod melius sibi æstimatione metiretur, eligendum proponit. Vel se salvo, omnibus thesauris suis argenti, auri, æris, cæterarumque rerum, servis etiam & ancillis, omnique alia supellectile integris, Imperium Tyranno relinquere; vel cum Imperio ista omnia cum vita amittere. *Edit. Paris. pag. 194.* His auditis Imperator urbe exit, illumque adorat. Classis equidem multis jam diebus Synope solverat, & Trapezuntem appulsa quotidianis præliis urbem frustra tentaverat, donec Tyrannus terrestri profectione eo venisset. (Trapezuntius imperio decedit, & Mehemeti se permittit.) Urbe itaque Imperator uxore, ac liberis comitantibus excessit, & illum veneratus est. David Comnenus appellabatur, Alexii Comneni filius, Joannis decessoris sui frater; (David Comnenus imperio Trapezuntino spoliatus Constantinopolim venit.) B cum tota gente sua soceris, avunculis & nepotibus suis cumque palatii nobilibus & proceribus, singulis supellectilem suam secum auferentibus, immobilibus bonis relictis, Constantinopolim triremibus vectus est. Mehemetes Trapezantis rebus rite compositis, anno solido in illa expeditione transacto, reversus est. Anno 6070. (Christi 1462.) Walachiæ Vaivodæ per Apocrisiarium injungit, ut ad se venerandum prompte ac diligenter accedat, adolescentes quingentos adducat, annuumque tributum aureorum nummorum decem millia efferat. (1462. Superba mandata Vvalachiæ Vaivodæ a Mehemete missa.) Respondet Walachus se nummos aureos solvendo paratos habere, adolescentes vero tradere non posse: impossibili porro propius esse, C ut ipse ad adorandum abeat. His auditis, Tyrannus exasperatus, illustrium procerum quemdam comite adjuncto Secretario destinat, mandatque ut tributum afferant, cæteris se prospecturum esse. Isti cum in Walachiam pervenissent, quæ in mandatis habebant, Vaivodæ nuntiant. At ille comprehensos mortis inhumano, acerbo turpique genere, palo per annum transfixos affecit. (Vvalachus Mehemetis legatos pali transfixione enecat, & in Dystræ regionem movet.) Superato deinde Danubio copiis secum ductis in Dystræ regionem excurrit, turbamque infimæ plebis captivam in Walachiam trajecit; quos omnes eodem mortis genere, pali transfixione plecti jussit. Finibus illis a Tyranno quidam dux præfectusque constitutus, egregio aliquo fa- D cinore fortem se ac bellicosum approbare cupiens, ductis Turcorum decem millibus in Walachiam trajecit: cum istis Walachus manus conferit ac pugnat, & inter pugnandum partim internecione delet, partim vivos capit; quos omnes eorumque ducem Hamzam acerba pali pœna damnatos necavit. (Hamza a Vvalacho cæsus. captivi palo trajecti.) His compertis animi vertigine & æstu circumactus Tyrannus, copias undequaque ad centum quinquaginta militum millia contrahit: per tempus vernum Adrianopoli profectus ad Danubii ripam venit: ibique castris positis, donec universæ copiæ se conjunxissent, substitit. (Mehemetes in Vvalachum movet.) Walachus interea omnes subditos suos in arcta loca, siluisque obsita migrare jussit. Agrisque E vastatis pecudes cæteraque animalia ad partes interiores, Alanorum Hunnorumque fines abegit. *pag. 195.* se vero ac exercitum intra siluas densas, tutis locis occupatis, continuit. (Vvalachus intra silvas delitescit.) At tyranno Danubium transvecto, septemque dierum itinere emenso, nec homines nec pecora occurrerunt, nulla cibaria, ne potus quidem, inventa. (Mehemetis profectio difficilis.) Cum vero in locum irriguum, & opportune situm pervenisset, palos innumeros erectos depactosque conspi-

Sævum inhumanumque spectaculum, quo terretur Mehemetes.

cit, fructuum vice cadaveribus graves: in omnium medio Hamzam byssinis ac coccineis vestitum paloque transfixum. Hoc portento Tyrannus obstupefactus ac territus, nocte ipsa, qua castra metatus est, fossis circumductis intra se continuit. Walachus summo mane copias in aciem dispositas ante diluculum deduxit: & cum ad castrorum dextrum cornu casu delatus fuisset, subito in ea irrupit, & donec dies appeteret, Turcorum ingentem stragem cæsis innumeris edidit. Turci in tenebrarum caligine trepidi, nec hostem dignoscentes, mutuis vulneribus se confodere. Ubi illuxit, intra castra sua Walachi recepti iis se continuere. Tyrannus castris tum motis turpiter recedens, & Danubium transvectus Adrianopolim regreditur. Anno 6971. (Christi 1462.) classe triremium sexaginta naviumque septem instructa, mense Septembri in insulam Lesbum movet: terrestri vero profectione copiis secum ductis accedit. Insulam a Nicolao Gareluzo, qui ei tunc dominabatur, sibi dedi poscit. Hic Dominici decessoris sui, quem ditione spoliatum laqueo necaverat, frater erat, quartusque annus ab occupata dominatione agebatur. Nicolaus equidem Mitylenes securitati prospexerat; machinis bellicis omnis generis instructam armatorum valido præsidio firmaverat: fossis profundis aggeribusque munierat: ejus mœnibus cum quinque militum millibus pluribusve, turbæ quoque plebejæ, adnumeratis mulieribus ac pueris, viginti millibus se tutabatur. Cum ab Hagiasmatio in insulam trajecisset Tyrannus, urbemque & insulam sibi dedi postularet: respondit Nicolaus, illas se prodere non posse, nisi præliando ipse suique milites prius occubuissent. Hoc reddito responso in continentem remeavit Tyrannus, & Vezirum Mahmut obsidioni ac oppugnationi Mitylenes præfecit. Qui tormentis mœnia ita quassavit, ut eorum pars, quæ Melanudios appellatur, ciciderit: in aliis etiam locis propugnacula & turres in solum corruerint. Oppidani his animadversis ***

Castra Mehemetis Vualachus expugnat, & Turcorum ingentem stragem edit.

1462. In Lesbum movet, & eam repetit.

Nicolaus Gateluſius fratrem suum Dominicum strangulat.

In insulam trajicit Mehemetes, & ad deditionem compellat.

Mitylene oppugnata.

ἀντὶ καρπῶν νεκρὰ σώματα, καὶ τὸν Χαμζᾶν, ὃν προείπομεν, ἐν μέσῳ μετὰ βυσσίνων, καὶ κοκκίνων, ὧν ἐφόρει, πεπερονομένον ἐν τῷ πάλῳ. ἰδὼν οὖν τὴν ἀπειλὴν ταύτην ὁ τύραννος ἐξεπλάγη, καὶ τῇ νυκτὶ φοβηθείς, ἐν ᾗ ἔπηξε τὰς σκηνάς, τάφρους ἀνήγειρε, καὶ ἐν μέσῳ τῶν τάφρων ἔκειτο. Ὁ δὲ Βλάχος ὀρθρίσας καὶ τοὺς ὑπ' αὐτὸν καλῶς συνταξάμενος, ἔτι σκοτίας οὔσης κατῆλθε, καὶ τὸ δεξιὸν μέρος τοῦ φοσσάτου τυχὸν εἰσῆλθεν ἐξαίφνης, καὶ ἕως πρωῒ ὑπὲρ ἀριθμὸν κατέκοψε. καὶ πολλοὶ τῶν Τούρκων ἀλλήλους ἐφόνευον, ἕως οὗ ἡμέρα διηύγασε. πρωΐας δὲ γενομένης οἱ μὲν Βλάχοι εἰς τὰς μάνδρας αὐτῶν εἰσελθόντες ἐκαστάθησαν. ὁ δὲ τύραννος ἐγερθεὶς κατησχυμμένος, καὶ περάσας τὸν Δάνουβιν ἦκεν εἰς Ἀδριανούπολιν. Ἐν δὲ τῷ ,ςϡοα΄. ἔτει στόλον ἀπαρτίσας τριήρεων, καὶ διήρεων ἑξήκοντα καὶ νῆας ζ. κατῆλθεν ἐν τῇ νήσῳ Λέσβῳ Σεπτεμβρίῳ μηνὶ, καὶ αὐτὸς διὰ ξηρᾶς σὺν δυνάμει. ἐλθὼν οὖν ᾐτήσατο τὴν νῆσον παρὰ τοῦ κρατοῦντος Νικολάου τοῦ Γατελιούζου, ὃς ὑπῆρχεν ἀδελφὸς Δομινίκου τοῦ προηγεμονεύσαντος, ὃν ὁ ῥηθεὶς Νικόλαος κατήγαγε τῆς ἡγεμονίας, καὶ ἀπέπνιξεν. αὐτὸς δὲ ἡγεμὼν κατέστη τῆς Λέσβου τέταρτον ἄγων ἔτος ἐν τῇ ἡγεμονίᾳ. Ὁ δὲ Νικόλαος ἀσφαλῶς τὴν Μιτυλήνην ἔν τε πολεμικαῖς παρασκευαῖς καὶ ἁρμάτων πλήθει, καὶ τάφρων βαθύνσει, καὶ χωμάτων ἀνορύξεσι κατασκευάσας, μέσον ἐκάθητο σὺν πολεμισταῖς πλέοσιν ὑπὲρ ἀριθμὸν χιλιάδων πέντε, καὶ συρφετώδη λαὸν σὺν γυναιξὶ καὶ παιδαρίοις ὑπὲρ ἀριθμὸν χιλιάδων κ. περάσας οὖν ὁ τύραννος ἀπὸ τοῦ Ἁγιασματίου, καὶ ζητήσας τὴν πόλιν σὺν τῇ νήσῳ, ἀπεκρίνατο ὁ Νικόλαος· οὐκ ἔστι δυνατὸν παραδοῦναι τὴν πόλιν, καὶ τὴν νῆσον, εἰ μὴ πρῶτον αὐτοὶ πολεμικῷ νόμῳ κτανθήσονται. τότε πάλιν τὴν περαίαν διαβὰς ὁ τύραννος ἀφῆκε τὸν αὐτοῦ Βεζύρην Μαχμοὺτ τοῦ πολιορκεῖν Μιτυλήνην. καὶ δὴ τὰς πετροβόλους σκευὰς ἀντικρὺ παραστήσας, καὶ πετροβολῶν τὸ ἓν μέρος τῆς πόλεως τὸ λεγόμενον Μελανούδιον κατὰ γῆς ἐρρίφθη, ὁμοίως καὶ ἐξ ἄλλων μερῶν τοὺς προμαχῶνας, καὶ πύργους. ὁρῶντες οὖν οἱ ἐντὸς **

Edit. Parif. pag. 196.

CHRONICON

BREVE,

Ex Bibliotheca Regia manufcripto Libro.

Anni orbis cond.	Anni Chrifti.	
6597	1089	ARGOS Metropolis facta, Johanoes, qui ei Ecclefiæ tunc præerat, ad Metropolitæ dignitatem provectus eft, octogefimumque thronum feu locum obtinuit, qui ad centefimum feptimum deinde depreffus eft.
6695	1187	Sanctum Domini fepulchrum occupaverunt Saraceni.
6711	1203	Franci Conftantinopolim occupaverunt.
